Ἀκήλητος, ὁ, ἡ· (κηλέω) δι' οὐδεμιᾶς γοητείας, δι' οὐδενὸς θελέατος ἀναπειθόμενος ἢ νικώμενος (τὸν ὁποῖον δὲν δύναταί τις νὰ κερδήσῃ ἢ νὰ νικήσῃ οὔτε μὲ μάγευμα, οὔτε μὲ δόλον) ἀδιάτρεπτος, ἀνένδοτος, ἀνεκβίαστος· παρ' Ὁμρ. ἅπαξ μόνον «ἀκήλητος νόος» Ὀδ. Κ. 329. (ἀλλ' ἡ γνησιότης τοῦ στίχου αὐτοῦ ἀμφιβάλλετο καὶ ὑπὸ τῶν πάλαι)· παρὰ τοῖς μεταγεν. δέ, σκληροκάρδιος, ἄκαμπτος, ἀπαραίτητος, χαλεπός, ἀπάνθρωπος.

Ἀκηλίδωτος, ὁ, ἡ· (κηλιδόω) ἄνευ κηλίδος· ἁγνός, καθαρός· (χωρὶς σπίλωμα, χωρὶς λεκὲν τουρκιβαρβάρ. παστρικός) (ι)

Ἄκημα, ατος, τό· (ἀκέομαι) φάρμακον, ἴαμα, παραμυθία, ἀνακούφισις (Ἰατρικὸν παρηγορία, ἐλάφρωσις) = ἄκεσμα «ἀκήματα ὀδυνάων» Ἰλ. Ο. 394.

Ἀκήν, κυρίως αἰτιατ. τοῦ ἀχρήστου ἀκή· εὕρηται μόνον ὡς Ἐπίῤ. Ἡσύχως, σιωπηλῶς· ὁ Ὁμρ. χρῆται πολλάκις αὐτῷ μετὰ τοῦ, ἐγένοντο σιωπῇ· Ἰλδ. Γ΄. 95. ἄλλως δὲ εὕρηται κατὰ δοτικ. Δωρικ. ἀκᾷ· ἢ ὡς Ἐπίῤ. ἀκᾷ Πνδ. Πθ. 4, 277. κατὰ σημτ. τοῦ, ἡσύχως, πρᾴως, ἀπαθῶς· παραβλ. ἀκαλός καὶ ἀκέων.

Ἀκήπευτος, ὁ, ἡ (κηπεύω) κῆπον μὴ κεκτημένος, ἐν κήποις μὴ ἀνατραφεὶς· (ὅστις δὲν ἔχει κῆπον, καὶ ὅστις δὲν ἀνετράφηκεν εἰς κήπους).

Ἄκηπος, ὁ, ἡ· (κῆπος) ἄνευ κήπου· «κῆπος ἄκηπος»· ἀνάξιος τοῦ καλεῖσθαι κῆπος (κῆπος ὅστις δὲν εἶναι κῆπος, δὲν ἀξίζει νὰ ὀνομάζηται κῆπος).

Ἀκηράσιος, ὁ, ἡ· (κεράννυμι) ἀμιγής, κατὰ τὴν φυσικὴν αὐτοῦ ὕπαρξιν (ἀνακάτωτος, καθὼς τὸν ἔκαμεν ἡ φύσις)· «οἶνος ἀκηράσιος» καθαρός, ἄκρατος, γνήσιος, (ἀνόθευτον, ἄκρατον κρασί)· Ὀδσ. Ι. 205. ὅθεν ἀδιάφθαρτος, ἀβλαβής, σῶος (ἀχάλαστος, ἄβλαπτος, σωστός). «Λειμῶνες ἀκήρασιοι» ἀθέριστοι, εἰς νομὴν ζώων μὴ χρησιμεύσαντες· (λιβάδια ἀβόσκητα

εἰς τὰ ὁποῖα δὲν ἐβλάστησαν ζῶα) Ὕμ. Ὁμ. Ἑρμ. 72. Κυρίως δὲ, καθαρὸς, γνήσιος, εἰλικρινὴς, ἀκιβδήλευτος, ἄδολος, δόκιμος = ἀκήρατος.

Ἀκήρατος, ὁ, ἡ· (κεράννυμι) ἀμιγὴς, ἄδολος, καθαρὸς »ὕδωρ ἀκήρα« Ἰλδ. Ω. 303. »χρυσὸς ἀκήρα· (μάλαμα λαγαρισμένον· καθαρὸν) Ἡρδτ. 7. 10, 1. Παρ. Πλτ. Τίμ. σλ. 17. »ποτὸν ἀκήρα« (καθαρὸν ποτὸν) Αἰσχλ. 614. »λέχος ἀκήρα· κλίνη ἀμίαντος· (πιστὸν ἀνδρόγυνον) Εὐρπ. Ὀρστ. 569. »Παρθένος ἀκήρα« καθαρὰ, ἀνδρὶ ἀμιγὴς· (ἀνέγγιχτη ἀπὸ ἄνδρα) Εὐρπ. Τρῳ. 670. »φιλία ἀκήρα· εἰλικρινὴς· Ξεν. Ἱέρ. γ. 4. Μετὰ δοτκ. ἀκήρατος, ἀνδράσι, Εὐρπ. Ἱππ. 1125. ἄλγεσι· Ἀπλλ. α. 832. χωρὶς ἀνδρῶν, ἀκατοίκητος ὑπ᾽ ἀνδρῶν, ἀπαθὴς ὑπ᾽ ἀλγηδόνων (ἀνέγγιχτος, ἀπάτητος, ἀπὸ ἄνδρας) »πηγή« Εὐρπ. Ἱππ. 1171. ἀπαθὴς ἀλγηδόνων (ἀπείραχτος ἀπὸ πόνους) Συνήθως δὲ μετὰ γενκ. ἀκηρ· κακῶν, ὠδίνων· ἀθῶος, μὴ ἔνοχος κακῶν, ἄπειρος ὠδίνων (ὅστις δὲν ἐνέχεται εἰς κακὸν, δὲν ἐδοκίμασε τοὺς πόνους τῆς γέννας). κ. τ. τ. 2) ἀπείρακτος, λύπης ἀμιγὴς, ἀνελλιπὴς, ἀπήμων, ἀβλαβὴς, ἀμάραντος, ὑγιής· »κτήματα ἀκήρα« κτήματα σῶα καὶ ἀβλαβῆ Ὀδσ. Ρ. 532. »οἶκος καὶ κλῆρος ἀκήρ.« Ἰλδ. Ο. 498. »λειμὼν ἀκήρ.« (ἀθέριστον λειβάδι) Εὐρπ. Ἱππ. 73. 76. »κόμη ἀκήρα« (ἀκούρευτα μαλλ. τῆς κεφαλῆς) Εὐρπ. Ἰων. 1266. »φάρμακα ἀκήρα· γοητεύματα δεινὰ, πλήρη ἰσχύος· (μάγια δυνατὰ καὶ μὲ πολλὴν ἐνέργειαν) Ἀπλλ. Ῥδ. δ. 157. »πράξεις ἀκήρα· ἐντάξει ἀπείρακτος· Ξεν. Κύρ. ζ. 22. Παρ᾽ Ἡρδτ. 4. 152. δὲ »ἐμπόριον ἀκήρατον« ἀντὶ τοῦ, ἄνευ μεγάλης ἐπιμιξίας· (τὸ ὁποῖον δὲν γίνεται ἀπὸ πολλοὺς ξένους) παράβλ. ἀκέραιος, ἀκραιφνής

Ἀκήριος, ὁ, ἡ· (κὴρ) ποιητ. ἄνευ βλάβης· ἀπήμων, ἀβλαβὴς, σῶος· Ἐν Ἰλιάδι δὲ οὐχ εὑρηται παράδειγμα· Ὀδσ. Μ. 98. Ψ. 328. »ἀκήριοι ἀπέρχεσθε« σῶοι, ἀπήμαντοι δηλ. τὸ γὰρ ἐν Ἰλδ. Η. 200. »ἀκήριοι« ὁ Ἀπολλ. ἑρμην. διὰ τοῦ, Ἄψυχοι, δειλοὶ (ἄκαρδοι)· ὡσαύτως καὶ Ἰλδ. Χ 466. καὶ Λ. 392. »ἀκήριον αἶψα τίθησιν« ἄπνουν, νεκρὸν, (ξεψυχισμένον)· καὶ Ἰλδ. Ε. 812. »ἀκήριον δέος« τὸ ἀψυχοποιὸν, τὸ εἰς ἀψυχίαν ἄγον, ἤτοι τὸ ψυχῆς ἀποστεροῦν· (κέαρ, κὴρ) Παρὰ Ψευδοφωκλ. 99. »ψυχαὶ ἀκήριοι« = ἀθάνατοι, αἰώνιοι· ὅτε τῶν Κηρῶν τῇ ἰσχύϊ μὴ ὑποκείμεναι. παράβλ. τῷ ἑξῆς.

Ἀκήριος, (κὴρ) ἄνευ καρδίας, ἄνευ ψυχῆς, ἀκάρδιος, ἄψυχος, ἤτοι μὴ ζῶν, τεθνηκώς· (δίχως ζωὴν, ἀποθαμμένος), Ἰλδ. Λ. 392. Φ. 466. 2) ἄνευ καρδίας, ἤτοι εὐτολμίας, θάρρους, ἀθαρσὴς, ἄθυμος, ἄνανδρος, δειλὸς (ἄκαρδος, φοβιτσιάρης) »ἀκηρ· δέος« φόβος, διὰ δειλίαν. Ἰλδ. Ε. 812. ἐν Ὀδσ. δὲ οὐχ εὕρηται παράδειγμα.

Ἀκηρότατος· Στρβ. 83. ποιητκ. κατὰ συγκπ. ἀντὶ τοῦ, ἀκηρατώτατος. ἐκ τοῦ Ἀκήρατος, Jac. AP. σλ. LXXXVI.

Ἀκηρυκτεὶ, καὶ **Ἀκηρυκτὶ**, Ἐπίρ. ἄνευ προηγουμένου κηρύγματος (χωρὶς νὰ δοθῇ ἢ νὰ δίδεται εἴδησις προτήτερα διὰ κήρυκος) Θουκδ.

Ἀκήρυκτος, ὁ, ἡ· καὶ Ἐπίρ. **Ἀκηρύκτως**, (κηρύττω)· ἀνεπάγγελτος, μὴ προκηρυττόμενος, μὴ προκηρυχθεὶς (ὅστις δὲν γίνεται ἢ δὲν ἐγένετο γνωστὸς προτήτερα μὲ κήρυκα, ἢ διαλαλητὴν, ἀδιαλάλητος). »Πόλεμος ἀκήρυκτος« Ξενοφ. Ἀναβ. Γ. γ. 5. πόλεμος, ὅστις δὲν δέχεται κήρυκα, ἢ πρόβλημα εἰρήνης, ἀδιάλλακτος (ἀφιλίωτος) Ἡρδτ. 5. 81. καὶ παρὰ Δίων. Κατ. »Ἀκηρυκταὶ πολεμεῖν« ἀντὶ ἀδιαλλάκτως· ὅθεν »Ἀτρείδα καὶ ἀκήρυκτα πάντα Λουκιαν. ἀντὶ τοῦ Ἀδιάλλακτα· καὶ Σοφοκλ. »Μόνος ἀκήρυκτος« χωρὶς νὰ σταλθῇ κῆρυξ, χωρὶς νὰ δώσῃ εἴδησιν περὶ ἑαυτοῦ· Ξεν. Σοφοκλ. Παρ᾽ Εὐριπ. Ἡρακλ. 91. »ὄνομα ἀκήρυκτον« ἀντὶ τοῦ, ἀγνωστον, μὴ περίφημον.

Ἀκήρωτος, ὁ, ἡ· (κηρόω) ὅστις δὲν εἶναι κεκηρωμένος, ἤτοι περικεκαλυμμένος μὲ κηρίον, ἀλειφθεὶς μὲ κηρί· Σουίδ. καὶ Λουκιαν. »ἀκήρωτα ὠκύπτερα« ὅπου πρότερον Ἀκήρατα, ἐκεῖτο

Ἀκηχέδατ᾽ Ἐπκ. ἀντὶ τοῦ, ἀκηχέαται, ἠκήχηνται, γ. πληθ. πρκ. παθ. Πρκμ. τοῦ ῥήματ. ἀκάχω· Ἰλ. Σ. 637.

Ἀκηχεδὼν, όνος, ὁ· ἄλγος, μέριμνα (πόνος ψυχικὸς, θλῖψις, βάσανον)· Ἄχος.

Ἀκήχεμαι, ἢ Ἀκήχημαι· (ἐκ τοῦ ἀνεργητ. Ἀκήχημι) Ζήτ. ἐν τῷ, Ἀκάχω.

Ἀκιβδήλευτος, ὁ, ἡ· (κιβδηλεύω) μὴ κεκιβδηλευμένος, νενοθευμένος· (ἀνόθευτος).

Ἀκίβδηλος, ὁ, ἡ· καὶ Ἐπίρ. Ἀκιβδήλως· (κίβδηλος) ἄνευ κιβδηλείας, ἀπαραχάρακτος, γνήσιος· (χωρὶς δόλωμα, καθαρὸς, ὅστις δὲν εἶναι κομμένος ἀπὸ παραχαράκτην, καλπουζάνην τουρκιστί.) Ἡρδτ. 5. 81.

Ἀκιδνὸς, νή, νόν· ἀσθενὴς, φθαρτὸς, φαῦλος, μικρὸς· (ἀδύνατος, κοντακὸς, ταπεινὸς) ὁ Ὅμρ. χρῆται καὶ τῷ συγκριτ. Ὀδυσ. Σ. 129. »Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο« οὐδὲν ἀσθενέστερον δηλ. Ὀδ. Θ. 169. »εἶδος ἀκιδνότερος πέλει ἀνὴρ« καὶ Ἀθήν. Γ. »ἀκιδνὸν ἔδεσμα« παράβλ. Ὀδσ. Ε. 217. καὶ Σ. 130.

Ἀκιδώδης, ὁ, ἡ· ες, τὸ (ἀκὶς, εἶδος)· ὀξὺς, (σουβλερός).

Ἀκιδωτὸς, ή, όν· (ἀκὶς) ἀπωξυμμένος, (σουβλερὸς, μυτηρός).

Ἀκίζω, Μ. ίσω· (ἀκὶς) ποιῶ τι ὀξὺ (σουβλερὸν) ἀποξύνω.

Ἀκίθαρις, ὁ, ἡ, ι, τό· γενκ. ιος (κίθαρις) ἄνευ κιθάρας (χωρὶς κιθάραν) Αἰσχλ. Ἱκ. 665.

Ἄκικυς, υος, ὁ, ἡ· (κίκυς) ἀσθενὴς, ὀλιγοδρανὴς (ἀδύνατος)· Ὀδυσ. Ι. 515. Φ. 131. (◡ – ◡).

Ἀκίναγμα, τό· Κίνημα, ἐκ τοῦ, κινέω, Κινάσσω, ἀκινάσσω, ἀκιναγμὸς, κίνησις. Ἡσύχ.

Ἀκινάκης, ου, ὁ· κυρίως ἡ λέξις Περσικὴ, σημαίνουσα μικράν τινα μάχαιραν, τὴν ὁποίαν ἐφόρουν οἱ Πέρσαι κατὰ τὴν πλευράν· (τὸ καλεῖ τοῖς Τούρκ. Χαντσιάρι, ἢ γιαταγάνι λεγόμενον)· παρ᾽ Ἡρδτ. πολλάκις, ὅστις καὶ ἀκινάκεος, τοῦ, περιττοσυλλάβως κλίνει τὴν λέξιν (– ◡ ◡ –).

Ἀκινδυνὶ, Ἐπίρ. ἀκινδύνως, ἄνευ κινδύνου (χωρὶς κίνδυνον).

Ἀκίνδυνος, ὁ, ἡ· καὶ Ἐπίρ. Ἀκινδύνως, (κίνδυνος) εἰς κίνδυνον μὴ ὢν, ἢ μὴ ὑποκείμενος· ἀσφαλὴς (ἀκινδύνευτος, ὅστις δὲν εἶναι εἰς κίνδυνον, ἢ δὲν ἔχει κίνδυνον, σίγουρος). Εὐρπ.

Ἀκινδυνώδης, (εἶδος) Ἀκίνδυνος· Ἱπποκρ.

Ἀκινήεις, εσσα, εν = ἀκίνητος.

Ἀκινησία, ἡ· (ἀκίνητος) ἔλλειψις κινήσεως· (ἀκινησιά).

Ἀκινητέω, ῶ· Μ, ήσω· εἰμὶ ἀκίνητος, δὲν κινοῦμαι· ἡσυχάζω· ἐκ τοῦ

Ἀκινητὶ καὶ ἀκινητεὶ· Ἐπίρρ. ἀκινήτως (ἀκίνητα).

Ἀκινητίζω· Μλ. ίσω = ἀκινητέω· 2) ἀκίνητος μένειν, ἢ ἡσυχίαν ἄγειν ἐφίεμαι· (ἀγαπῶ νὰ μὴ κινοῦμαι, ἢ νὰ ἔχω ἡσυχίαν).

Ἀκινητίνδα· Ἐπίρρ. ὄνομα, »ἀκινητίνδα παίζειν« Παιδιά τις ἐν ᾗ ἁμιλλῶνται οἱ παίζοντες πρὸς τὸ κινεῖν εἰς τὸν ἕτερον ἀπὸ τοῦ τόπου αὐτοῦ, ἀκίνητος αὐτὸς μένων ἐν τῷ ἰδίῳ τόπῳ· Πολδ. Θ. Ὡσαύτως καὶ βασιλίνδα καὶ ἄλλα εἰς παιδιὰς ἀναφερόμενα Ἐπίρ.

Ἀκίνητος, ὁ, ἡ· καὶ ἀκινήτη, ἡ, Ποιητ. καὶ Ἐπίρ. Ἀκινήτως· (κινέω) μὴ κινούμενος, ἢ μὴ κινηθεὶς. ἀκατάσειστος, ἔμπεδος ἀστεμφὴς, ἀσάλευτος· ὡσαύτως δὲ καὶ ἠθικῶς, ἥσυχος, ἀτάραχος, εὐσταθὴς, σταθερὸς· (ὅστις δὲν κινεῖται, δὲν σαλεύει ἀπὸ τὸν τόπον του· ἥσυχος, στερεὸς, σταθερός· (βαρυκέφαλος, χοντροκέφαλος). »Ἡ ὕλη ἀργὸς ἐξ ἑαυτῆς καὶ ἀκίνητος« Πλούταρχ. »Ἀκίνητος καὶ δυσμαθὴς« Κέβ. πίν. 34. 2) δυσκίνητος δυσκολοκίνητος) Πλτ. Τιμ. σλ. 55. Ε. 3) ὃν οὐκ ἔξεστιν ἀνακινεῖν, φανερὸν ποιεῖν, εἰς τὸ φῶς ἄγειν (τὸν ὁποῖον δὲν εἶναι συγχωρημένον νὰ πειράξῃ τις νὰ τὸν εὐγάλῃ νὰ τὸν βλέπουν οἱ ἄνθρωποι) Ἡσιόδ. Ἐργ. 753. »Ἐπ᾽ ἀκινήτοισι καθίζειν« δηλ. ἐπὶ τάφοις· Ἡρδ. 1. 187. 6, 134. 4) πᾶν ὅ,τι πρέπει ν᾽ ἀποσιωπᾶται Σοφοκλ. Οἰδ. Κ. 623. Παρὰ Ξενοφ. Κυροπ. Α. »ἀκίνητον χωρίον« τὸ ἄσκαπτον· 5) ἀκέραιος, ἄλυτος (σωστὸς, ἀνέγγιχτος) (ῑ).

Ἄκινος, ὁ· εἶδος φυτοῦ εὐώδους ὅμοιον τῷ βασιλικῷ λεγομένῳ, · 2) Ἡ ῥάγα τῆς σταφυλῆς (◡ ◡ ◡).

Ἄκιος, ὁ, ἡ· (κὶς) ἄνευ σκωλήκων, ἄβρωτος ὑπὸ σκωλήκων (χωρὶς σκωλήκια, καὶ πᾶν ὅ,τι δὲν τρώγεται ἢ δὲν ἐφαγώθη (ὡς ξύλον) ἀπὸ σκωλήκια. ὑπερθ. ἀκιώτατος, Ἡσιόδ. Ἐργ. 433. »... ἀκιώτατοι ἱστοβοῆες« ὅπου ἄλλοι, ἀκιρώτατοι, ὅ ἐστι, κάλλιστοι, ἀναγινώσκουσι.

Ἀκιρὸς, ὁ, ἡ· Θεοκρ. 28, 15. Ἀκιρῶς, παρ᾽ Ἡσδ. Ἐρ. 433. εὐλαβῶς, ἀτρέμας, καὶ Ἀκιρῆ, ἀσθενῆ, οὐκ ἐπιτεταμένα, ἀνησυχωτδέν, κεδνῶς = καιδνες.

Ἀκὶς, ίδος, ἡ· (ἀκὴ) ἄκρα, κορυφὴ, ἀκμὴ, ὀξύτης· (μύτη, σουβλιερὴ) κυρίως δὲ ἡ ἐν τῇ συντθ. ἐκ τῆς Αἰτιατ. Ἀκίδα, καὶ παρεσθίεται τοῦ γ. Ἀγκίδα, »ὀνύχων ἀκίδας« Παρωνυχίδας· Ἀναλκ. γ. σελ. 78. 2) πᾶν ὀξυτενὲς, εἰς ὀξὺ λῆγον (σουβλερὸν) ἐργαλεῖον, ὅπλον, λόγχη, κάμαξ, σκόλοψ, τρίαινα· κ. τ. τ. 3) τροπικῶς· »πόθων ἀκίδες« πόθου ἢ ἐπιθυμίας κεντήματα (πόνος ψυχικὸς διὰ κανὲν πρᾶγμα τὸ ὁποῖον ἐπιθυμεῖ τις). 4) παρὰ τοῖς νεωτέροις δὲ καὶ πᾶν ὀξὺ ἄλγους αἴσθημα (σφάχτης, σφαχτό). Ὀππιαν Ἀλ. Β 535. Ἱπποκρ. Παρ᾽ Ἀρετ. »τῆς κύστιος ἀκίδες« πόνοι τῆς κύστιος· (τῆς φούσκας).

Ἀκίχητος, ὁ, ἡ· (κιχάνω) καὶ Ἐπίρ. Ἀκιχήτως· ἀνέφικτος, ἀπαρακολούθητος, ἀκατάληπτος (ἄφθαστος, τὸν ὁποῖον δὲν ἠμπορεῖ νὰ φθάσῃ τις ἢ εἰς τὸ τρέξιμον ἢ μὲ τὸν νοῦν του). Ἰλ. Ρ. 75. »ἀκίχητα διώκων« (κυνηγῶν ἄφθαστα πράγματα): Ἀκιχήτως· ἀπρόσιτος, ἀμείλικτος (ἀπραΰντος μὲ παρακαλέματα)· Αἰσχλ. Προμ. 192.

Ἄκιων, ονος, ὁ, ἡ· (κίων) ἄνευ στύλων (χωρὶς στύλους). Ἡσύχ.

Ἀκκίζομαι, Μ. ίσομαι· μέτ. ἀποθτκ. (ἀκκώ) προσποιοῦμαι μὴ θέλειν τι καίτοι ἐφετόν μοι (καμώνομαι ὅτι δὲν θέλω κανένα πρᾶγμα μ᾽ ὅλον ὅτι τὸ θέλω, καὶ τὸ ἐπιθυμῶ μάλιστα· κάμνω ὡς τὸ τῆς παρ. Τράβα με κι ἂς κλαίω) ἐξαιρέτως ἐπὶ γυναικῶν θρυπτομένων (αἱ ὁποῖαι καμαρώνουν, κάμνουν τζακίσματα καὶ θέλουν νὰ δείξουν τὴν αναταδεστον) Τιμ. σελ. 18. ὑπὸ Ruhnk. καὶ Λεξ. Ἐρτ. Κατὰ τὸ Ἐτυμολόγ. ἐκ τοῦ Ἀκκὼ, ὄνομα ματαιόσχολου τινὸς γυναικὸς, ἥτις ὁμιλοῦσα πάντοτε εἰς τὸν καθρέπτην μὲ τὸ ἄγαλμά της, ὡς νὰ ὡμίλουν μετ᾽ ἄλλης γυναικὸς· κατ᾽ ἄλλους δὲ, ἤτον τὸ, Ἀκκὼ, ὄνομα φαντάσματος, μὲ τὸ ὁποῖον αἱ τιθῆναι (βάγιαι) ἐφόβιζον τὰ παιδία· ὡς καὶ τὸ Ἀλφιτὼ, παρὰ Πλουτάρχ. ὅθεν· 2) προσποιοῦ-

μαι ἀβελτηρίαν ἢ ἀνοησίαν (καμώνομαι μωρὸς ἢ ἀνόητος) Πλτ. Γργ. σλ. 497. Α. ἀφ᾽ οὗ

Ἄκκισμα, ατος, τό· Νεώτ. Εὐγέν. καὶ

Ἀκκισμός, ὁ· ὑπόκρισις, προσποίησις, ἄρνησις πεπλασμένη· ὅταν λέγῃ τις ὅτι δὲν θέλει ἐκεῖνο, τὸ ὁποῖον μάλιστα καὶ ἀγαπᾷ· Μένανδρ. Μοίρ. σλ. 48.

Ἀκκώ, ἡ· ὄνομα ματαιόφρονος καὶ ἀρεσκευτικῆς τινος (Coquette) γυναικός, ἥτις ὁμίλει πρὸς ἑαυτὴν ἐνοπτριζομένη· Ἑρμλ. κατ᾽ ἄλλους δέ, ὄνομα γραϊδίου, καὶ κατ᾽ ἄλλους πάλιν φάσματός τινος, δι᾽ οὗ αἱ τιθῆναι (βάγιαις, βυζάχτραις) ἐφόβιζον τὰ παιδία· ὡς καὶ τὸ Μορμώ, καὶ τὸ Ἀλφιτώ, παρὰ Πλτχ. ἐξ οὗ τό, ἀκκίζομαι.

Ἀκλαγγί· (κλαγγή) Ἐπίρ. ἄνευ θορύβου, ἢ κραυγῆς καὶ βοῆς· ἐξαιρέτως ἐπὶ τοῦ ἤχου συγκρουομένων ὅπλων.

Ἀκλάδευτος, ὁ, ἡ· (κλαδεύω) ὁ μὴ κεκλαδευμένος.

Ἄκλαστος, ὁ, ἡ· (κλάω) μὴ κεκλασμένος, (τσακισμένος, ἀτσάκιστος).

Ἀκλαυστεὶ καὶ Ἀκλαυστί, καὶ Ἀκλαυτεί, καὶ Ἀκλαυτί· Ἐπίρ. (κλαίω) ἄνευ δακρύων (ἀκλαυστά, χωρὶς κλάματα, χωρὶς δάκρυα)· ἔστι δὲ καὶ τὸ ι τῆς ληγούσης μακρόν· Δρακ. σλδ. 37, 95.)

Ἄκλαυστος, ὁ, ἡ· = τῷ ἑξῆς· νεώτρ. σχηματισμ.

Ἄκλαυτος, ὁ, ἡ· (κλαίω) μὴ κλαίων, ἢ μὴ κλαυθείς (ὅστις δὲν κλαίει ἢ δὲν ἔκλαυσε). Ὀδσ. Δ. 494. Παθτ. περὶ οὗ δὲν κλαίει ἢ δὲν ἔκλαυσέ τις· ἐξαιρέτως ἐπὶ νεκρῶν. Ἰλδ. Χ. 386. μετὰ γεν. «φίλων ἄκλ.» Σφκ. Ἀντ. 847.

Ἀκλεής, ὁ, ἡ· αἰτιατ. ἀκλεᾶ, Ἰων. ἀκλεῆ, ποιητκ. ἀκλέα (-υυ) Ὀδσ. Δ. 728. (κλέος) ἄνευ κλέους, εὐφημίας, ἄδοξος, ἀνώνυμος, ἀνεπίσημος· (χωρὶς φήμην, χωρὶς μεγάλον ὄνομα) παρ᾽ Ὁμ. Ἐπίρ. ἀκλεὲς αὔτως. Ἰλδ. Η. 100. = ἀκλεῶς. Βτμ. Λξ. 1. σλ. 43, 44.

Ἀκλεία, ἡ· ἔλλειψις ἢ στέρησις κλέους, φήμης· ἀτιμία.

Ἀκλειής, Ποιητ. ἀντὶ Ἀκλεής· καὶ Ἀκλειῶς Ἐπίρ. Ὀδ. Ξ. 241. Ἰλδ. Χ. 304.

Ἄκλειστος, ὁ, ἡ· Ἰων. ἄκληιστος, συνρτ ἄκληστος (κλείω) μὴ κεκλεισμένος (ἀσφάλιστος).

Ἄκλειτος = ἄκλειστος. Δυτ. Ἀλκ.

Ἄκλεπτος, ὁ, ἡ· (κλέπτω) μὴ κλέπτων, μὴ ἀπατῶν· καὶ μὴ κεκλεμμένος, μὴ κλαπείς.

Ἀκληής, ὁ, ἡ· ποιητ. ἀντὶ ἀκλεής. Ἰλδ. Μ. 318.

Ἀκλήιστος, ὁ, ἡ· συνρτ. ἄκληστος, ὁ, ἡ· Ἰων. ἀντί, Ἄκλειστος.

Ἀκληρέω, ῶ· Μ. ήσω. (ἄκληρος) εἰμὶ χωρὶς κληρονομίας, ἄνευ κτημάτων· κυρίως δὲ πτωχός, ἐνδεής, ἀτυχής· ὅθεν

Ἀκλήρημα, τό· δυστυχία, δυστυχὲς συμβεβηκός.

Ἀκληρία, ἡ· ἔνδεια, πτωχεία. δυστυχία, ἀτυχία. ἀθλιότης· ἐκ τοῦ

Ἄκληρος, ὁ, ἡ. (κλῆρος) ἄνευ κλήρου, ἄνευ ἐπιβάλλοντος μέρους, ἄνευ ἰδίων κτημάτων (χωρὶς λαχνόν, μοιράδι, χωρὶς βιό ἢ ἔχειν) ὅθεν πτωχός, ἐνδεής. Ὀδσ. Λ. 490. 2) Παθτ. μὴ διακληρωθείς, ἀδιανέμητος, ἄνευ κτήτορος· (ὅστις δὲν ἐβάλθηκεν εἰς λαχνόν, (λοτερίαν) δὲν ἐμοιράσθηκε, δὲν ἔχει αὐθέντην). Ὁμρ. Ὕμ. Ἀφρ. 123. (χωρὶς κλῆρον, μερίδιον, κληρονομίαν, ἢ περιουσίαν· χωρὶς νὰ ἔχῃ μέρος γῆς)· καὶ ἑπομένως, Πτωχός, ἐνδεής· «γῆν ἀκλήρόν τε καὶ ἄκτιστον» Ὕμν. Ἀφροδ. 123. ἀμοίραστον καὶ ἀγεώργητον γῆν.

Ἀκληρωτεί, ἡ, Ἀκληρωτί· (ἀκλήρωτος) ἄνευ κλήρου (χωρὶς λαχνόν).

Ἀκλήρωτος, ὁ, ἡ· (κληρόω) μὴ ἔχων κλῆρον, ἢ μέρος, ἢ κτῆμα (ὅστις δὲν ἔχει μοιράδι) μετὰ γεν. «ἀκλ. χώρας». Πινδ. 2) Παθτ. μὴ κληρωθείς, μὴ κληρούμενος (ὅστις δὲν ἠμπορεῖ νὰ μοιρασθῇ ἢ δὲν ἐμοιράσθηκε μὲ λαχνὸν (εἰς τὴν λοτερίαν). Πινδ. «ἀκλήρωτος χώρας».

Ἄκληστος, ὁ, ἡ· Αττκ. ἀντὶ Ἄκλειστος. Γρηγ. Ναζ. σλ. 100.

Ἀκλητί, Ἐπίρ. (κλητός) ἄνευ κλήσεως, παρακλήσεως, προσκλήσεως (χωρὶς κράξιμον, παρακάλεσμα, προσκάλεσμα). 2) Ἀνωνύμως (ἀνώμαστα) «Ἀκλητὶ κωμάζουσιν εἰς φίλους φίλοι»· οἱ φίλοι ὑπάγουν νὰ συγχαίρωνται μὲ τοὺς φίλους, χωρὶς νὰ τοὺς κράξουν, ἤτοι νὰ τοὺς καλέσουν.

Ἄκλητος, ὁ, ἡ· (καλέω) μὴ κληθείς, παρακληθείς, προσκληθείς (ἄκραχτος, ἀπαρακάλεστος, ἀπροσκάλεστος). 2) Μὴ ὀνομασθείς (ἀνώμαστος).

Ἀκλινής, ὁ, ἡ· (κλίνω) = ἄκλιτος· ἐπίρ. ἀκλινῶς. Θεόκριτ. ΚΖ΄. 16.

Ἀκλισία, ἡ· τὸ μὴ ἐπιδέχεσθαι κλίσιν, ἐπὶ λέξεων.

Ἄκλιτος, (κλίνω) μὴ κλινόμενος, καμπτόμενος, ἀκίνητος· ἀνένδοτος, ἀπαραίτητος (ὅστις δὲν βαίζει, δὲν λυγᾷ· δὲν κλίνει, σκληρόκαρδος). Παρὰ Γραμματικ. «Ἄκλιτον», καὶ Ἀκλίτως Ἐπίρ. κλίσεως ἀνεπίδεκτον ὄνομα.

Ἀκλόνητος, ὁ, ἡ. (κλονέω) καὶ Ἄκλονος, ὁ, ἡ· (κλόνος) μὴ κλονούμενος, μὴ κλονηθείς· ἀδιάσειστος, στερεός, ἔμπεδος, ἀστεμφής (ὅστις δὲν κλονεῖται, δὲν σείεται, δὲν ταράζεται· στερεός, ἀτράνταχτος).

Ἄκλοπος, ὁ, ἡ· (κλοπή) μὴ κλεπτόμενος, μὴ κλαπείς (ὅστις δὲν κλέπτεται, δὲν ἐκλέφθηκε). 2) Κλοπὴν μὴ παθών (τοῦ ὁποίου δὲν ἔκλεψαν τίποτε).

Ἀκλυδώνιστος, ὁ, ἡ· καὶ Ἐπίρ. Ἀκλυδωνίστως· (κλυδωνίζομαι) ὑπὸ κυμάτων μὴ ταραττόμενος, μὴ ταραχθείς· ἀχείμαστος, ἥσυχος· (ὅστις δὲν κτυπᾶται ἢ δὲν ἐκτυπήθηκεν ἀπὸ κύματα, δὲν ὑποφέρει ἢ δὲν ὑποφέρει φορτοῦναν θαλάσσης). Πολύβ.

Ἄκλυστος, ὁ, ἡ· καὶ ἀκλύστη, ἡ· (κλύζω) μὴ ὑποκείμενος τῇ ὁρμῇ τῶν κυμάτων, ὡς, «λιμήν, γαλήνη ἀκλύστος»· (ἐλεύθερος ἀπὸ τὰ κτυπήματα ἢ κινήματα τῶν κυμάτων).

Ἄκλυτος, ὁ, ἡ· (κλύω, κλῦμι) μὴ ἀκουόμενος· θορύβου ἐλεύθερος (ὅστις δὲν ἀκούεται· καὶ εἰς τὸν ὁποῖον δὲν ἀκούει τις ταραχήν) «ἄκλυτος ἀήρ». Πλούτ. τόπος ὅπου δὲν ἀκούει τις ταραχάς.

Ἀκλώνητος, ὁ, ἡ· (κλών) ἄνευ κλωνῶν (χωρὶς κλωνάρια).

Ἄκλωστος, στου, ὁ, ἡ· (κλώθω) μὴ κλωθόμενος, μὴ κλωσθείς (ὅστις δὲν κλώθεται ἢ δὲν ἐκλώσθηκε).

Ἀκμάζω, Μ. άσω· (ἀκμή) εἰμὶ πλήρης ἀνθέων, ἀνθῶ· (εἶμαι γεμάτος μὲ ἄνθη) ἐξαιρέτως, ἐπὶ ἀνθρώπων, εἰμὶ εἰς τὸ ἄνθος τῆς ἡλικίας, ἔχω ὅλως νεότητα, εἰμὶ ῥωμαλέος· Θουκυδ. Β΄. «ἀκμάζουσα ἡλικία» καὶ μετὰ δοτ. «ἀκμάζοντας νεότητι πολλῇ αὐτόθι» παραβλ. ἡβάω. Ἐπὶ πραγμάτων· εἶναι ἢ φαίνεται εἰς ἀρίστην κατάστασιν, εἰς αὔξησιν, εἰς τὸν προσήκοντα καιρόν, ὥριμος· «ἀκμαζούσης ἡμέρας» περὶ μεσημβρίαν (τὸ μεσημέρι) «ἀκμαζούσης νυκτός», περὶ μέσας νύκτας (τὰ μεσάνυχτα). Ξενοφ. «ἀκμάζοντος τοῦ σίτου», ὅταν εἶναι ἕτοιμος διὰ θερισμόν· ὡσαύτως καὶ νόσος, πόλεμος, θέρος. Ἐπὶ πολέμου. Ἡρόδ. 1, 29. 6, 127. 2) Ἀκμάζει ἀπροσώπως· καιρός ἐστιν, ἐν καιρῷ δέοντι ἢ προσήκοντι· «ἀκμάζει τὰ πράγματα» εἶναι εἰς τὴν καλλίστην κατάστασιν. Παρ᾽ Αἰσχύλ. Ἠλ. 98. «ἀκμάζει βρετέων ἔχεσθαι»· τώρα εἶναι καιρὸς νὰ ἐναγκαλισθῶμεν τὰ ἀγάλματα· καὶ Χοηφ. 722. Ξενοφ. Κυρουπ. 4, 2, 9. «Ἀκμάζει νῦν πάντα ἐπιμελείας δεόμενα»· τώρα μάλιστα χρειάζεται ἡ μεγίστη προσοχή.

Ἀκμαῖος, αία, αῖον· ἐν πλήρει ἄνθει, ἀκραῖος, ὥριμος (ὡριμασμένος, φθασμένος, εἰς τὸ ἄνθος του, εἰς τὸν καιρόν του· εἰς τὴν ἡλικίαν του)· «ἀκμαία παρθένος»· κόρη διὰ ὑπανδρείαν· ὡραῖος, εἰς τὸν καιρόν, ὁρμητικός, σφοδρός. Σοφοκλ. Αἰ. 893. «ἀκμαῖος μόλοι»· ἔλθοι εἰς τὸν ἁρμόδιον καιρόν· καὶ «ἀκμαιότατος χειμών» (ἡ καρδία τοῦ χειμῶνος). «Ἀκμαῖος τὴν ὀργήν». Λουκιαν. εἰς τὸ ἄκρον θυμωμένος. «Ἀκμαιότεραι τῶν ὑποθέσεων»· ἀντικείμενα, μεγίστης προσοχῆς δεόμενα, Φλστρ. Ἐπίρ. ἀκμαίως.

Ἀκμαστής, στοῦ, ὁ· = Ἀκμαῖος. Ἡρωδιαν. Α΄. «νεανίσκον γενναῖόν τε καὶ ἀκμαστήν».

Ἀκμή, ῆς, ἡ· (ἀκή καὶ παρενθέτει τοῦ μ ἀκμή) κυρίως, τὸ ἄκρον πράγματός τινος (ἡ κορυφή, τὸ κοπτερὸν μέρος, ἡ μύτη) μαχαίρας, ξυροῦ (ξυραφιοῦ). «Νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς». Ἰλδ. Κ. 173. Ἡρδ. 6, 11. παροιμιωδῶς· ὅ ἐστιν, ἐν ἐσχάτῳ κινδύνῳ ἐστί· ὡς τὸ τῆς συνηθείας «Κρέμαται εἰς τὴν μύτην τοῦ μαχαιριοῦ»· τοιοῦτον καὶ τὸ παρὰ Σοφοκλ. Ἀντιγ. 988. καὶ Πλούταρ. «ἀκμὴ ὀνύχων» καί, «ἀκμὴ ὀμμάτων» παρ᾽ Αἰλιαν. καὶ «κατ᾽ ἀκμὴν χρόνου» αὐτίκα, παραυτίκα· (εἰς τὴν στιγμήν, τώρα, εἰς αὐτὴν τὴν στιγμήν) παραβλ. ἀκμὴν ἐπιρρηματ. «ἀμφιδέξιαι ἀκμαὶ ἀμφότεραι αἱ χεῖρες» (καὶ τὰ δύω χέρια) Εὐρ. Οἰδ. Τ. 1243. 2) Πᾶν ἀκρότατον, ἐξαιρέτως τοῦ ἄνθους, τῆς ὡραιότητος (τοῦ ὡριμάσματος) τῆς δυνάμεως. Ἐπὶ ἀνθρώπων, Τὸ ἄνθος τῆς ἡλικίας τοῦ ἀνθρώπου, ὅ ἐστι, τὸ ἀπὸ τοῦ εἰκοστοῦ τετάρτου ἔτους τῆς ἡλικίας μέχρι τοῦ τεσσαρακοστοῦ δευτέρου· ὅθεν λέγεται «ἀκμὴ τοῦ βίου, τοῦ ζῆν, τῆς ἡλικίας» καί, «ἡ ἡλικία τῆς ἀκμῆς», καί, «οἱ ἐν ἀκμῇ ὄντες». Ξεν. Γαλην. καὶ Ἀθήν. καὶ Λυσίας Ἠθικ. Η΄. 1. «τοῖς ἐν ἀκμῇ πρὸς τὰς καλὰς πράξεις». 3) Ἐπὶ πραγμάτων καὶ ἐπὶ χρόνου, «κατ᾽ ἀκμὴν χρόνου», (ὅ ἐστιν, εἰς τὸν ἁρμοδιώτατον καιρόν, «ἀκμὴ σίτου», καί, «σῖτος ἀκμάζων» (ὅταν τὸ σιτάρι φθάσῃ εἰς τὸν καιρόν του) καὶ Ἡσιόδ. «ἀκμὴ καλοῦ», ἀκμὴ καιροῦ· καί, «καιρὸς ἐν ἐπ᾽ ἀκμῇ», (ἁρμοδιώτατος καιρός) Ἀριστοφ. Πλούτ. 256. «οὐ καιρός ἐστιν ἐπ᾽ αὐτῆς τῆς ἀκμῆς»· καὶ Αἰσχύλ. Ἀγαμ. 1364. «Οὐκέτ᾽ ὀκνεῖν καιρός, ἀλλ᾽ ἔργων ἀκμή»· (δὲν εἶναι καιρὸς διὰ χάσιμον ἀλλὰ διὰ δουλειάν) «ἕδρας ἀκμή, λόγων ἀκμή» (καιρὸς νὰ καθήσωμεν, νὰ ὁμιλήσωμεν). Σφκ. Αἰ. 822. Φιλ. 12. «Εἰς ἀκμήν»· εἰς καιρόν. Εὐριπ. Ἡρκ. μαιν. «τὸ μὴ μέλλειν δ᾽ ἀκμή». Ἐν γένει δέ, τὸ ἀκρότατον ἐν παντὶ πράγματι· ὡς, «ἀκμὴ ἔρωτος», Δίων. Κ. «ἀκμὴ ἔρωτος, σώματος, νόσου, ὀδύνης, κακῶν, πολέμου»· τοιοῦτον καὶ τό, «Ἐπ᾽ ἀκμὴν εἰμὶ ἰδεῖν». Εὐριπ. Ἑλ. 903. ἀντὶ τοῦ, ἕτοιμος. 4) Ἀκμαί, παρὰ τοῖς νεωτέροις Ἰατροῖς λέγεται τὸ παρὰ τοῖς παλαιοῖς Ἴονθοι· (ἐξανθημάτιόν τι εἶδος ἐπὶ τὸ πρόσωπον τῶν νεανιῶν· τὸ κοινῶς, σπυριὰ τῆς νεότητος λεγόμενα). Κάττ. Πρέβ. ΛΓ΄.

Ἀκμήν, κυρίως αἰτιατ. τοῦ ἀκμή· Ἐπίρ. χρονικόν· ἐν ῥοπῇ ὀφθαλμοῦ, παραχρῆμα, αὐτίκα μάλα (τώρα εὐθύς· εἰς τούτην τὴν στιγμὴν ὅσῳ νὰ ᾽πῇς ναί). 2) Ἔτι (ἀκόμα, τώρα ἀκόμα) μόνον παρὰ τοῖς μεταγενεστ. Π. Μοίρις. σλ. 79. Φρυνχ. σλ. 123.

Ἀκμηνός, νή, νόν· (ὀξύτ.) ταυτὸν καὶ ἀκμαῖος »θάμνος ἐλαίης«. Ὀδ. Ψ. 190. 191.

Ἄκμηνος, νου, ὁ καὶ ἡ· (προπαροξύτ.) ἄσιτος, ἄπαστος, ἀνάριστος, ἄγευστος (νηστικός) »σίτοιο, πότιος, καὶ ἐδητύος«. Ἰλδ. Τ. 163, 346. (ἀκμὴ = νηστεία, Αἰολ. Ἡσύχ. Β΄. Μακκαβ. Α΄. 7.)

Ἀκμής, ῆτος, ὁ, καὶ ἡ· (κάμνω) = Ἀκάμας, ἀντὶ ἀκάμης· ἀκαταπόνητος, ἄτρυτος (ἀκούραστος, ἀπόσταστος) νεαρός, ἀκμάζων. Ἰλ. Μ. 44. »ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῇ ὤσαιμεν« ἐν Ἐπιγράμ. »Πύλας ἀκμῆτας Ὀλύμπου«, φαίνεται ὅτι σημαίνει τὸ Στερεός.

Ἀκμήτης, του, ὁ· ὅθεν Ἀκμῆται· καί, ἀκμήτην δύναμιν· ἐσφαλμένως, ἀντί, Ἀκμῆτες, Ἀκμῆτα. Διονύσ. Ἀλικ. σελ. 251. καὶ 1777.

Ἀκμητεί, καί, **Ἀκμητί**. Ἐπίῤ. ἀπόνως, ἀπονητί (ἀκοπίαστα, χωρὶς κόπον, εὔκολα.) (ι) Ἡσύχ. καὶ Σουίδ. καὶ

Ἄκμητος, του, ὁ, καὶ ἡ· (κάμνω) ἀκαταπόνητος (ἀκούραστος) »ἄκμ. ποσίν« (ἀκούραστος νὰ τρέχῃ) Ὑμ. Ὁμ. Ἀπλλ. 520. 2) = ἀκμής· τὸ δέ, »ἄκμητον τύμμα«. Νίκανδρ. Θηρ. 737. 820. κτύπημα χωρὶς πόνον.

Ἀκμοθέτης = ἀκμόθετον.

Ἀκμόθετον, του, τό· (τίθημι, ἄκμων) ὁ τόπος, τὸ ξύλον ἐν ᾧ τίθεται ὁ ἄκμων, (τὸ ἀμόνι) Ἰλ. Σ. 410. Ὀδσ. Θ. 274. κατὰ Συγκοπ. ἐκ τοῦ, Ἀκμονόθετον.

Ἄκμων, ονος, ὁ· ταυτὸν τῷ, Ἀκάμων (τὸ ἀμόνι) τῶν χαλκέων. Ἡρδτ. Ὀδ. Θ. 274. »ἐν δ' ἔθετ' ἀκμοθέτῳ μέγαν ἄκμονα«. Αἰσχύλ. Πέρσ. 51. »ἄκμονες λόγχης« ἄκμονες ἀκοντισμῶν (διὰ νὰ προφυλάττουν ἀπὸ τὰ κτυπήματα τῶν κονταριῶν) κατὰ τὴν συνήθη ἐξήγησιν δέ, λόγχῃ ἀκάματοι (τοὺς ὁποίους δὲν ἠμποροῦν νὰ τρυπήσουν τὰ κτυπήματα τῶν κονταριῶν). 2) Παρ' Ἡσυχ. »εἶδος ἀετοῦ« παρ' Ὀππιαν. Κυνηγ. Γ΄. εἶδος λύκου. 3) = οὐρανός. Σφκ. Αἰ. 814. ὑπὸ Lobeck σλ. 351.

Ἀκναμπτος, του, ὁ, ἡ· (κνάμπτω) = ἄγναμπτος· ἀλύγιστος, σκληρός, ἀκαταμάχητος. Πίνδ. Πύθ. Δ΄. 128. = ἄγναπτος.

Ἄκναπτος, του, ὁ, ἡ· = ἄγναπτος.

Ἄκναφος = ἄγναφος.

Ἄκνημος, μου, ὁ, ἡ· (κνήμη) ἄνευ σκελῶν ἢ κνημῶν (ὅστις δὲν ἔχει σκέλη, δηλ. στερεῖται τὰ μέλη ἀπὸ τὰ γόνατα καὶ κάτω. 2) (κνημίς) ἄνευ κνημίδων, ἢ ἄνευ παρακαλύμματος τῶν κνημίδων (χωρὶς καλέμια τῶν ποδῶν, ἢ χωρὶς χολέβια).

Ἄκνηστις, στιος, ἡ· (ἄκνηος) ἡ ῥάχις (τὸ ῥαχοκόκκαλον) τῶν ζώων. Ὀδ. Κ. 160. »τὸν δ' ἐγὼ ἐκβαίνοντα κατ' ἄκνηστιν μέσα νῶτα πλῆξα«. 2) Φυτῶν εἶδός τι. Νικάνδρ. Θηρ. 52.

Ἄκνισσος, ὁ, ἡ· κρεῖττον **ἄκνισος**· (κνίσσα, κνισσόω) ἄνευ κνίσσης· (χωρὶς βόχαν μυρωδιὰν ἢ παχὺν καπνὸν καιομένου κρέατος). Πλούταρ. Συμποσ. Δ΄. »βωμὸς ἄκνισσος«· ἐπὶ τῶν ὁποίων δὲν καπνίζουσι καιόμενα θυμάτων παχέα κρέατα.

Ἀκνίσσωτος, ὁ, ἡ· κρεῖττον **ἀκνίσωτος** (κνισσόω) = Ἄκνισσος. Λουκ. »πάγνια ἀκνίσσωτος«.

Ἀκοή, ῆς, ἡ· (ἀκούω) ἡ αἴσθησις τοῦ ἀκούειν. 2) Τὸ ὄργανον τῆς ἀκοῆς, τὸ οὖς ἢ τὸ ὠτίον (αὐτί). Ἡρδτ. 1, 38. Καλλμ. σλδ. 245. ὑπὸ Valck. καὶ Λουκιαν. »τὰς ἀκοὰς ἀποφράττων« (στουπώνω τὰ αὐτιά μου). 3) Πᾶν ὅ,τι ἀκούεται· λόγος, φήμη, διήγησις ἐξ ἀκοῆς, ἐκ παραδόσεως. Πλάτ. Τίμ. »Ὁ δ' οὖν ἡμῖν λόγον εἰσηγήσατο ἐκ παλαιᾶς ἀκοῆς« »ἀκοὴ φέρεται« (τρέχει ἕνας λόγος) Εὐρπ. Φοίν. 826. »ἀκοῇ εἰδέναι τι« (ἠξεύρω τι ἐξ ἀκοῆς) παράβλ. Ἡρδτ. 1, 38, 171. 2, 29, 148. 4, 16.

Ἀκοίλιος, ὁ, ἡ· (κοιλία) ἄνευ κοιλωμάτων (χωρὶς βαθουλώματα)

Ἄκοιλος, ὁ, ἡ· (κοῖλος) μὴ κοῖλος, μὴ βαθουλός.

Ἀκοίμητος, ὁ, ἡ· (κοιμάομαι) μὴ κοιμώμενος, μὴ κοιμηθείς (ὅστις δὲν κοιμᾶται ἢ δὲν ἐκοιμήθη) ἄϋπνος· ἄπαυστος. Αἰσχύλ. Πρ. 138.

Ἀκοίμιστος, στου, ὁ, ἡ· (κοιμίζω) μὴ κοιμιζόμενος, μὴ κοιμισθείς· (τὸν ὁποῖον δὲν ἀπεκοίμησε ἢ δὲν ἠμπορεῖ νὰ ἀποκοιμίσῃ τις) ἄσχολος (ἀνησύχαστος) ἀκατάπαυστος. Διόδ. Σικ.

Ἄκοινος, ὁ, ἡ· (κοινός) μὴ κοινός (ὅστις δὲν εἶναι διὰ καθένα, δὲν εἶναι κοινός.)

Ἀκοινωνησία, ας, ἡ· στέρησις, ἡ ἔλλειψις κοινωνίας, συναναστροφῆς· ἀπὸ τοῦ

Ἀκοινώνητος, ὁ, ἡ· (κοινωνέω) τὴν κοινωνίαν ἀποφεύγων· κοινωνίας ἀνεπιτήδειος· (ὅστις δὲν σμίγει, δὲν συναμώνεται, δὲν συναναστρέφεται μὲ ἄλλους· ἢ ὅστις δὲν εἶναι ἐπιτήδειος, δὲν ἔχει τρόπον ἢ ζέρτιμον διὰ νὰ συναναστρέφηται μὲ ἄλλους). Κικ. Ἀττικ. στ΄. 1. 3. 2) Μὴ κοινός, τῷ κοινῷ μὴ κτήσιος· (ὅστις δὲν εἶναι κοινὸς εἰς ὅλους, δὲν εἶναι ἁρμόδιος, δὲν ἀνήκει εἰς κοινὸν κτῆμα). Ἐπίῤῥ. ἀκοινωνήτως.

Ἀκοίτης, του, ὁ· (κοίτη μετὰ τοῦ ἀθροιστ. α.) σύγκοιτος, σύνευνος, σύζυγος· (ὅστις κοιμᾶται μὲ ἄλλον εἰς μίαν καὶ τὴν αὐτὴν κλίνην, εἰς ἕνα κρεββάτι· ἀνδρόγυνον) παρὰ Πλτ. Κρτλ. 405 C. D. = ὁμοκοίτης, τις. Ὀδ. Ε. 120.

Ἄκοιτις, τιος, ἡ· θηλυκὸν τοῦ ἀκοίτης. Ἰλ. Ι. 450. »τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ' ἄκοιτιν.«

Ἄκοιτος, ου, ὁ, ἡ· (κοίτη) ἄνευ κοίτης (χωρὶς κρεββάτι, χωρὶς στρῶμα τοῦ ὕπνου).

Ἀκολάκευτος, ὁ, ἡ· (κολακεύω) μὴ κολακευόμενος, μὴ κολακευθείς, ἀδιάφθαρτος διὰ κολακειῶν (ὅστις δὲν κολακεύεται ἢ δὲν ἐκολακεύθηκε, δὲν ἀγαπᾷ τὰς κολακείας· δὲν εἶναι χαλασμένος ἀπὸ κολακείας, δὲν κερδαίνεται μὴ κολακείας). Κικ. πρὸς Ἀττ. 13, 51. Ἐπίῤ. Ἀκολακεύτως.

Ἀκόλακος, ὁ, ἡ· (κόλαξ) ὅστις δὲν κολακεύει. Διογ. Λαέρ. »ἀκόλακον ψήφισμα«, τὸ μὴ ἐπιδεχόμενον κολακείαν.

Ἀκολασία, ας, ἡ· (ἀκόλαστος) ἀτιμωρησία, ἀσέλγεια, ἀκρασία, ἀσωτία, ἀκράτεια τῶν παθῶν, πρὸς τὰς αἰσχρὰς ἡδονὰς ῥοπή· (ξεδομές.)

Ἀκολασταίνω, (ἀκόλαστος) ζῶ ἢ πολιτεύομαι ἀκολάστως· εἶμαι δεδομένος εἰς τὰς αἰσχρὰς ἡδονὰς (ξεδομένος).

Ἀκολαστέω = ἀκολασταίνω· ἀφ' οὗ

Ἀκολάστημα, τος, τό· πρᾶξις ἀκόλαστος ἢ ἀσελγής (κάμωμα ἄσεμνον καὶ ἄτιμον).

Ἀκολαστία = ἀκολασία· ἀπὸ τοῦ

Ἀκόλαστος, ου, ὁ, ἡ· (κολάζω) ἀτιμώρητος, ἀσωφρόνιστος· μὴ σωφρονισθείς, μὴ τιμωρούμενος (ἀπαίδευτος· ὅστις δὲν ἐπαιδεύθηκεν ἢ δὲν ἠμπορεῖ νὰ τὸν παιδεύσῃ κανείς). Ἐπὶ δένδρων· ἀπερίτμητος, μὴ περιτεμνόμενος (ἀκλάδευτος ἀβλαστολόγητος καὶ ὄχι περιποιημένος καθὼς διορίζουν οἱ κανόνες (τῆς φυτοκομίας) περὶ τοῦ πῶς πρέπει νὰ περιποιούμεθα τὰ δένδρα)· ὅθεν κατὰ μεταφρ. ἐπ' ἀνθρώπων· ἀσωφρόνιστος, αὐθάδης, ἀτιμώρητος, ἀχαλίνωτος, ἀπαίδευτος. Ἐπίῤῥ. ἀκολάστως· συγκρτ. ἀκολαστοτέρως· »ἀκολάστως ἔχειν πρός τι« (κάμνω ἢ ἀπολαμβάνω τι πολὺ ἄμετρα, ὑπερβολικά). Ξνφ. Ἀπμν. 2, 1, 1.

Ἀκολλητί· Ἐπίῤῥ. ἀπὸ τοῦ ἀκόλλητος (ἀκόλλητα, χωρὶς νὰ κολλήσῃ ἢ νὰ κολλᾷ).

Ἀκόλλητος, ου, ὁ, ἡ· (κολλάω) μὴ κεκολλημένος, μὴ κολλώμενος, ἢ μὴ συναπτόμενος, μὴ ἑνούμενος, μὴ συνημμένος, μὴ ἑνωθείς· (ὅστις δὲν ἀκολλᾶται, ἢ δὲν ἐκολλήθηκεν, δὲν ἑνώνεται ἢ δὲν ἑνώθηκε μὲ ἄλλον).

Ἄκολλος, ου, ὁ, ἡ· (κόλλα) ἄνευ κόλλης, (χωρὶς κόλλαν ἢ ἀκόλλητον) ἔτι δὲ καὶ = Ἀκόλλητος.

Ἄκολος, ου, ὁ· (κόλον) ἄρτου τεμάχιον, τὸ ἄλλως ψωμός· (κομματάκι ψωμί). Ὀδ. Ρ. 222. »αἰτίζων ἀκόλους.«

Ἀκολουθέω, ῶ. Μ. ήσω. (κέλευθος, μετὰ τοῦ ἀθροιστ. α. κατὰ Πλάτωνα) πορεύομαι κατόπιν τινός, ἀκολουθῶ, ἕπομαι (πηγαίνω κατόπι εἴς τινα) μετὰ δοτκ. ἀκολ. τινί· ἔτι δὲ καὶ ἀκολ. μετά τινος ἀντὶ τοῦ συμπορεύομαί τινι (πηγαίνω μαζὶ μὲ ἄλλον) Φρυχ. 353. ὑπὸ Lobeck. Λουκ. »ὑμεῖς δὲ μὴ βραδέως ἀκολουθεῖτέ μοι« καὶ Δημοσθ. Ἀνδροτ. »γράψας ἀκολουθεῖν μεθ' ἑαυτοῦ« »ἀκολουθεῖν τοῖς καιροῖς, δηλονότι ταῖς περιστάσεσι« Πολβ. 2) Τρκν. μιμοῦμαί τινα, ἐξισῶ ἐμαυτόν τινι (ταιριάζω τὸν ἑαυτόν μου μέ τινα) πείθομαι, ὑπακούω· Λουκ. διπ. Φν. »τῷ γὰρ τούτου σώματι φατὶ τοὺς τυράννους ἀκολουθήσαντας, καὶ μεμιμημένους αὐτοῦ τὸ πλάσμα«. 3) Ἀκολουθῶ νοερῶς· ἐπὶ μαθητῶν σχετικῶς πρὸς τὸν διδάσκαλον, ἐξαιρέτως τῶν φιλοσοφικῶν σχολείων· μαθητεύω τινί (εἶμαι μαθητής τινος) ὡς τό, ἕπεσθαι· »ἀκολουθῶ τῇ γνώμῃ ἢ τῷ λόγῳ τινός«· εἶμαι ὀπαδός, μαθητὴς διδασκαλίας τινός. 4) Ἐπὶ πραγμάτων ὑπ' ἀλλήλων ἀναπτυσσομένων, τίθεται τὸ ῥῆμα ἀπροσώπως καὶ ἐξηγεῖται δύναται, ἕπεται, ἑπόμενόν ἐστι· »ὑμεῖς μὲν γὰρ ὄντων ἀκολουθεῖ τὸ ἓν εἶναι« Ἀρσττλ. ἡ δὲ λέξις ἀπαντᾶται μόνον μετὰ τὸν Πίνδ.

Ἀκολούθημα, τος, τό· τὸ ἀκολουθεῖν, τὸ ἕπεσθαι, ἡ ἀκολούθησις· τὸ ἐπακολούθημα, τὸ ἀποβάν, ἡ ἀπόβασις.

Ἀκολούθησις, εως, ἡ = ἀκολούθημα.

Ἀκολουθητέον· δεκτ. Ἐπίῤῥ. ἢ Ονμ. ἐπίῤῥμ. ἀπὸ τοῦ, ἀκολουθέω· πρέπει νὰ ἀκολουθῇ ἢ ἀκολουθήσῃ τις. Ξνφ. Οἰκ. 21, 7.

Ἀκολουθητικός, κή, κόν· ἀσμένως, ῥᾳδίως, συνήθως ἀκολουθῶν· (ὅστις ἀκολουθεῖ πρόθυμα, εὔκολα· ὅστις συνειθίζει νὰ ἀκολουθῇ).

Ἀκολουθία, ας, ἡ· ἀκολούθησις· οἱ ἑπόμενοι, συνέχεια, ἀλληλουχία, οἱ συντεταγμένως ἀκολουθοῦντες· ἐπακολούθημα, ὁμορρυθμία· τὸ ὑπακούειν, τὸ πείθεσθαι· (ἀκολούθημα, πηγεμὸς μὲ τάξιν, περιπάτημα ἑνὸς κατόπι τοῦ ἄλλου, συμφωνία, ἀποτέλεσμα· ὑπακοή). 2) Ἐκκλησιαστ. = τελετή, μυσταγωγία, ὑμνῳδία, ὕμνος, κανών· (ὅσα ἀναγινώσκονται καὶ ψάλλονται εἰς τὴν ἐκκλησίαν καθὼς διορίζει τὸ τυπικόν).

Ἀκολουθίσκος, σκου, ὁ· Ὑποκρ. τοῦ ἀκόλουθος· μικρός, φαῦλος ἀκόλουθος· (κοντακὸς καὶ οὐτιδανὸς δοῦλος). Ἀθήν. σελ. 550.

Ἀκόλουθος, ὁ, ἡ· ἀκολουθῶν, ἑπόμενος· παρακολουθῶν, ὀπαδός· (ὅστις ἀκολουθεῖ, πηγαίνει κατόπι εἰς ἄλλον) παρὰ Πλτ. Κρτλ. σλδ. 405. C. D. ἀντὶ τοῦ, ὁμοκέλευθος· ἀπὸ τοῦ ἀθροιστ. α καὶ κέλευθος· παραβλ. Βτμ. Ἑλλν. γρμμ. 2. σλ. 358. καὶ Doederl. Λατν. συνωνυμ. 4. σλδ. 203. ἀποβαίνων ἢ ἑπόμενος ἔκ τινος· προσήκων, ὅμοιος, παραπλήσιος, σύμφωνος, ἀνάλογος, μετὰ γενκ. Αρστφ. Ἀχ. 438. Δημοσθ. περὶ Στεφ. »ἀκόλουθα τούτοις πράττειν«. Δημοσθ. »Πάντα τ' ἀκόλουθα τῇ κοίμησει, ὅσα ἀνήκουν εἰς τὴν κοίμησιν. 2) Ἐπιθτκ. πᾶς ὀπαδός, ἀκόλουθος, μαθητὴς προσαρτώμενός τινι· ἐξαιρέτως ὁ τῷ δεσπότῃ αὐτοῦ ἐξερχομένῳ ἀκολουθῶν δοῦλος· (καθεὶς ὅστις ἀκο-

λουθεῖ εἰς ἄλλον· μάλιστα ὁ δοῦλος, ὅστις πηγαίνει κατόπιν εἰς τὸν αὐθέντην του ὅταν εὐγαίνῃ ἔξω). Πλτ. Χρμ. σλδ. 155. Β'. ὑπὸ Heind. 3) Πληθυντ. οἱ ἀκόλουθοι, τὰ σκευοφόρα· (ὅσοι ἀκολουθοῦν εἰς τὸ στράτευμα μὲ ζωοτροφίας καὶ λοιπὰ ἀναγκαῖα τοῦ στρατεύματος) bagage Γαλλστ. Troß. Γερμνστ. Ἐπῤῥ. ἀκολούθως.

Ἀκολουτέω· ἀντὶ ἀκολουθέω, λέγει μὲ βαρβαρικὴν προφορὰν ὁ Σκύθης, παρ' Ἀρστφ. Θσμ. 1198.

Ἀκόλυμβος, βου, ὁ, ἡ· (κολυμβάω) ὅστις δὲν ἠξεύρει νὰ κολυμβᾷ· Ὁμ. Βατρ. 157.

Ἀκομία, ας, ἡ· (ἄκομος) ἔλλειψις τῶν τριχῶν τῆς κεφαλῆς, φαλάκρα.

Ἀκομιστία, ας, ἡ· ἔλλειψις θεραπείας (περιποιήσεως). Ὀδ. Φ. 284. (◡◡–◡̄–) ἀπὸ τοῦ

Ἀκόμιστος, ὁ, ἡ· (κομίζω) ἀθεράπευτος, τῆς ἀναγκαίας θεραπείας στερούμενος (ἀπεριποίητος).

Ἀκόμμωτος, ὁ, ἡ· (κομμόω) ἀκαλλώπιστος, ἀπέριττος· (ἀστόλιστος, ἀψιμαρίδωτος) Θμστs.

Ἄκομος, ου, ὁ, ἡ· ἄνευ κόμης (χωρὶς μαλλιά) ἐπὶ δένδρων· ἄφυλλος, ἄνευ φύλλων· (χωρὶς φύλλα).

Ἀκόμπαστος, ὁ, ἡ· (κομπάζω) καὶ

Ἄκομπος, ὁ, ἡ· (κόμπος) ἀφελής, μὴ καυχώμενος, (ὅστις δὲν καυχᾶται, δὲν εἶναι καυχησιάρης, δὲν εἶναι καπετᾶς). Αἰσχύλ. Θηβ. 560.

Ἀκόμψευτος, ὁ, ἡ· (κομψεύομαι) ἀκαλλώπιστος (ἀστόλιστος). Διον. Ἀλικ.

Ἄκομψος, ὁ, ἡ· (κομψός) ἀκαλλώπιστος, ἀφελής, ἁπλοῦς, ἀκόσμητος (ἀστόλιστος, ἀτλιβάνωτος). 2) Κοινός, χυδαῖος, φαῦλος, ἀγελαῖος, ἀγοραῖος, ἀνεπιτήδειος· ἐξαιρέτ. λόγων ἄπειρος· (ποταπός, χωριάτης, ἀπελέκητος· μάλιστα εἰς τὴν ὁμιλίαν). Πλουτάρχ. «φαῦλος ἄκομψος· ἁπλοῦς καὶ ἀκόσμητος». Ζήτ. ἐν τῷ, Κομψός.

Ἀκονάω, ῶ· Μ. ήσω. (ἀκόνη) θήγω, ὀξύνω, (ἀκονίζω, τροχίζω) ἔτι δὲ καὶ κατὰ μετ. διαθτ. Ξενοφ. Ἑλλ. «Πάντες δὲ ἠκονῶντο τὰς λόγχας». 2) Τρπκ. ὡς καὶ τὸ θήγω. Παροξύνω, διεγείρω, ἐξάπτω τινά· (κάμνω τινὰ νὰ θυμώσῃ, τὸν ἀνάπτω, τὸν φυτιάζω) Ἡρωδ. «αἱ ὠμότητα ἠκόνησαν τὴν ψυχήν».

Ἀκόνδυλος, λου, ὁ, ἡ· (κονδύλη) ἄνευ κονδύλων· ἄνευ ἁρμῶν, ἄρθρων· (χωρὶς ῥόζους, χωρὶς κόμπους, χωρὶς κλειδώσεις). 2) Ἀκονδύλιστος (ἀγρόθιστος, ἄδαρτος μὲ γροθιαῖς) Λουκιαν. Γ'. σελ. 31. 3) Ἄνευ οἰδήματος πληγῆς, (χωρὶς πρίσμα, τὸ ὁποῖον γίνεται ἀπὸ ξυλαῖς).

Ἀκόνη, νης, ἡ· (ἀκή) ὁ λίθος, ἀκόνη (ἀκόνι). Ἀκόναι πλθ. τμήματα πετρῶν ἔχοντα τὸ σχῆμα καὶ τὸ μέγεθος ὅμοια τῇ ἀκόνῃ. Στράβ. ΙΒ'. σελ. 814. «λίθου λευκοῦ, ὥσπερ ἀκόνας τινὰς οὐ μεγάλας ἐκφέρων, ἐξ ὧν τὰ λαβὰς τοῖς μαχαιρίοις κατεσκεύαζον»· καὶ παρὰ Πλουτάρχ. «Ἀκόναι μολύβδου»· τμήματα μολύβδου ἔχοντα τὸ σχῆμα τῆς ἀκόνης. 2) «γλῶσσα ἀκόνας λιγυρᾶς εἰς μέλος παροξυνθεῖσα γλῶσσα». Πνδ. Ὀλ. 6. 141.

Ἀκόνημα, τος, τό· (ἀκονάω) τὸ ἀκονᾶν, θήγειν· καὶ τρπ. τὸ παροξύνειν, διεγείρειν τινά. εἴς τι (τὸ ἀκόνισμα· καὶ τὸ φύτιασμα, ἄναμμα, δόσιμον αἰτίας εἰς θύμωμα).

Ἀκόνησις· εως, ἡ· τὸ ἀκονᾶν, ἀφηρημ. ὡς πρᾶξις. Ετ. Μγ.

Ἀκονητής· οῦ, ὁ· ἀκονῶν (ἀκονιστής) Γλσ.

Ἀκόνιον, ου, τό. Ὑποκ. τοῦ Ἀκόνη· (ἀκονάκι) 2) παρ' Ἰατροῖς, Ἰατρικόν τι διὰ τὰ ὄμματα, Διοσκορ. Ε'. 144. «γίνεται καὶ κολλύρια ἐξ αὐτοῦ καὶ ἀκόνια πρὸς τὰ ἐν ὀφθαλμοῖς πάθημα· οὕτως ὅτι καὶ ἐπὶ Ἐβενίου ξύλου, (ἀμπανόζ) «Εἰδέ τις ποιήσας ἀκόνιον ἐξ αὐτῆς χρῷτο εἰς τὰ κολλύρια, βέλτιον ἐνεργήσει».

Ἀκονιτί, Ἐπίῤ. ἐκ τοῦ ἀκόνιτος· ἄνευ κόνεως (χωρὶς κονιορτόν) ἐξαιρέτως τῆς ἐν παλαίστραις· ὅθεν τρπκ. ἄνευ ἀγῶνος, ἀπόνως, ἀσυντόνως (χωρὶς μάλωμα, χωρὶς κόπον) (κόνις). Θουκ. Δ'. καὶ Ἡρόδ. Β'. (◡◡––Δρκ.)

Ἀκονιτικός, κή, κόν· κατεσκευασμένος ἐξ ἀκονίτου. Ξενοφ. Κυνηγ.

Ἀκόνιτον, τό· καὶ, Ἀκόνιτος, ἡ· χόρτον τι φαρμακερόν, ἐν ἀκόναις, (ἀποῤῥωγάσι) φυόμενον· (τὸ ὁποῖον φυτρώνει εἰς βράχους) Νικ. Ἀλεξ. 13. Schneid. Διοσκ. Δ'. καὶ ς'. καὶ Θεόφρ. Θ'. 16.

Ἀκόνιτος, ὁ, ἡ· (κονίω)· μὴ κεκονιμένος, ἄνευ πόνου καὶ μόχθου, ἄνευ συντάσεως (ἀκορνιάχνιστος· χωρὶς κόπον). Κοΐντ. Σμυρν. «ἀκόνιτος ἄεθλον ἔλαβεν». 2) = ἀκώνιστος· μὴ πεπισσωμένος, μὴ πισσωτός (ἀπίσσωτος, ὅστις δὲν εἶναι ἀλειμμένος μὲ πίσσαν). Διοσκ. Α'. 94.

Ἀκονίτως, Ἐπίῤ. ἰδὲ Ἀκονιτί.

Ἀκοντί, Ἐπίῤ. τοῦ ἄκων (ἑκών)· ἀκουσίως (χωρὶς θέλησιν, βιασμένα), ἀντὶ τοῦ ἀχρήστου ἀεκοντί (◡––).

Ἀκοντίας, ου, ὁ· (ἄκων) εἶδος ταχυτάτου ὄφεως· ἡ κοινῶς Σαΐτα. 2) μετέωρόν τι, κατὰ πληθ. ἀριθμ. ἐν χρήσει· (φαινόμενόν τι εἰς τὸν οὐρανόν).

Ἀκοντίζω, Μ. ίσω. (ἄκων) ῥίπτω τὸ ἀκόντιον (τὸ κοντάρι) ῥίπτω νὰ κτυπήσω τινὰ μὲ τὸ κοντάρι) κυρίως ἀφίημι, ῥίπτω τι βιαίως· «δοῦρί, καὶ δόρα ἀκοντίζειν τινος, καὶ εἰς, καὶ κατά τινα» Ὀδσ. Θ. 229. Χ, 263. Ἰλδ. Δ. 490 «ὡσαύτως καὶ ἔγχεϊ, αἰχμὰς ἀκοντ.» Ὁμ. ἄρα ὡς τὸ βάλλειν· ὅθεν παρὰ τοῖς μεταγενεστ.· καὶ μετὰ αἰτιατ. τοῦ προσώπου· «ἔνθα δὴ ὁ καθαρθεὶς τὸν φόνον, καλεόμενος δὲ Ἄδρηστος, ἀκοντίζων τὸν σῦν, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου παιδός» Ἡρδτ. 1. 43. 2) Οὐδέτ. «Εἴσω γῆς ἀκοντίζουσ' ἀραίαν» διεκνεύονται (διαπερνοῦν) Εὐριπ. Ὀρέστ. 1245. Ἰων. 1155.

Ἀκόντιον, ου, τό· ὑποκρστ. τοῦ ἄκων, (κονταράκι) Ὑμ. Ὁμ. Ἑρμ. 460. Ἡρδτ. 1, 34.

Ἀκόντισις, σεως, ἡ· τὸ ἀφιέναι ἀκόντιον, ἀφηρμ. ὡς πρᾶξις (τὸ ῥίψιμον τοῦ κονταριοῦ)· καὶ κυρίως τὸ ἀφιέναι, βάλλειν, ῥίπτειν τι βίᾳ.

Ἀκόντισμα, τος· τὸ ἀφιέμενον, ἡ βολὴ (τὸ ῥίψιμον τοῦ κονταριοῦ) 2) τὸ διάστημα ἐφ' ὅσον διικνεῖται ἡ βολὴ (ὅπου φθάνει τὸ κοντάρι) Ξεν. Ἑλλ. Δ'. «ἐντὸς ἀκοντίσματος οὐ προσίησαν τοῖς ὁπλίταις»· 3) τὸ διὰ τοῦ ἀκοντίου τραῦμα (ἡ πληγὴ μὲ τὸ κοντάρι) Πλουταρ. εἰς Ἀλέξ. «πολλῶν ἀκοντισμάτων κατάπλεως».

Ἀκοντισμός = ἀκόντισις, ὡς ἀποτέλεσμα τῆς ἀκοντίσεως· ὅθεν «ἀκοντισμὸς ἀστέρων» (τὸ πέταγμα τῶν ἄστρων, ὅταν φαίνηται, ὅτι ἓν ἄστρον πετᾷ ἀπὸ ἓν μέρος εἰς ἄλλο).

Ἀκοντιστήρ, ῆρος, καί, Ἀκοντιστής, στοῦ, ὁ ἀκοντίῳ ὡπλισμένος· τὸ ἀκόντιον βάλλων· (ἁρματωμένος μὲ κοντάρι, καὶ ὅστις ῥίπτει τὸ κοντάρι). Ὁμ. καὶ Ἡρδτ.

Ἀκοντιστικός, κή, κόν· εἰς ἀκόντιον ἀνήκων, καὶ ὁ γεγυμνασμένος, ἡ ἐπιτήδειος εἰς τὸ ἀκοντίζειν. Ξεν. Π. Ζ'. «οὐδὲ ἧττά τι ἱππικοί, οὐδ' ἧσσον τι ἀκοντιστικοί».

Ἀκοντιστύς, στύος, ἡ· Ἰωνκ. ἀντὶ ἀκόντισις. Ἰλδ. Ψ. 622. «οὐδ' ἀκοντιστὺν ἐσδύσεαι»· ἔνθα ὁ Σχολ. οὐδ' εἰς ἀκοντίου ἀγῶνα καταλεύσῃ, εἰς Ἀκόντισιν δηλ.

Ἀκοντοβόλος, ὁ, ἡ· (βάλλω) ὁ τὸ ἀκόντιον βάλλων = ἀκοντιστής.

Ἀκοντοδόκος, ὁ, ἡ· (δέχομαι) ὁ δεχόμενος τὸ ἀκόντιον, καὶ αὐτῷ προσέχων ἵν' ἀποφύγῃ τὴν βολὴν αὐτοῦ.

Ἀκοντοφόρος, ὁ, ἡ· (φέρω) ὁ ἄκοντα φέρων, (ὅστις ἔχει, ἢ βαστάζει κοντάρι). Δίων Κάσ.

Ἀκόντως, Ἐπίῤ. ἀπὸ τοῦ ἄκων = Ἀκοντί. Ξενοφ.

Ἀκοπητί, Ἐπίῤ. (κόπος) ἄνευ κόπου καὶ μόχθου, (χωρὶς κόπον, ἀκοπίαστα).

Ἀκοπία, ἡ (ἄκοπος) ἀποφυγὴ παντοςδήποτε καμάτου, (κόπου). Cic. ad div. 16, 18.

Ἀκοπίαστος, ὁ, ἡ· (κοπιάω) ἀκαταπόνητος, ἀκάματος (ὅστις δὲν κουράζεται, ἀποσταίνει, ἢ δὲν ἀκουράσθηκε, δὲν ἀπόσταινε ἀπὸ κόπους 2) μὴ προξενῶν κόπους (κούρασμα, ἀπόσταμα) Ἐπῤῥ. ἀκοπιάστως.

Ἄκοπος, ὁ, ἡ· (κόπος) ἀκαταπόνητος, ἀκμής, ἄτριπτος, ἀβλαβής, (ἀκούραστος, ἀκοπίαστος) 2) ἀθριψέστος· (ἀτσαλιγκομάνωτος, ἀσαράκωτος· 3) μὴ καταπονῶν, τοῦ καμάτου ἀπαλλάττων· (ὅστις δὲν προξενεῖ κούρασμα, ἀπόσταμα· ὅστις φυλάττει ἀπὸ κούρασμα) Πλτ. Φέδ. σλ. 227. Α. Τιμ. σλ. 89. Α. ὅθεν τὸ ἄκοπον· ἀναληπτικόν, ζωπύρημα, (δυναμωτικόν). Ἐπῤῥ. ἀκόπως.

Ἀκόπριστος, ὁ, ἡ· (κοπρίζω) ὁ μὴ κεκοπρισμένος, ἄκοπρος, ὁ· (κόπρος) ἄνευ κόπρου, μὴ κοπρίζων· (χωρὶς κοπριάν, ὅστις δὲν κάμνει κοπριάν).

Ἀκοπρώδης, ὁ, ἡ· = ἄκοπρος· παρ' Ἱπποκρ. ὅστις δὲν ἠμπορεῖ νὰ κάμῃ τὴν κόπρον του· καὶ ὁ εἰς τοῦτο μὴ ἐνεργῶν.

Ἀκόρεστος, ὁ, ἡ· (κορέννυμι) Ἀττκ· ἀντὶ ἀκόρητος· μὴ κορεννύμενος, μὴ κορεσθείς· (ὅστις δὲν ἐχόρτασεν ἢ δὲν χορταίνει, ἀχόρταστος, ἀχόρταγος). Ἰλ. Υ. 2. «... μάχης ἀκόρητοι». Παρὰ Ξενοφ. Συμ. Η'. 15. «ἀκορεστοτέραν». Ἐπῤῥ. ἀκορέστως· 2) ἐνεργητ. μὴ κορεννύων· (ὅστις δὲν κάμνει χορτασμόν) Αἰσχλ. Αγ. 1504.

Ἀκόρετος, ὁ, ἡ = ἀκόρεστος Αἰσχλ. Αγ. 1114. τροπκ. ἀκατάπαυστος. Αἰσχλ. Αγ. 1088.

Ἀκορής, ὁ, ἡ· Ἀκόρεστος, Σφκ. Οἰδ. Ηλ. 120. ὅπου ὁ Δοιδερλεῖνος, Döderlein ἐξηγεῖ τὴν λέξιν ὑβριστής· ὡς τό, κόρος = ὕβρις.

Ἀκόρητος, ὁ, ἡ· (κορέννυμι) = ἀκόρεστος· μετὰ γενκ. «ἀϋτῆς, πολέμου, μάχης, ἀπειλάων». Ἰλδ. 2) (κορέω) μὴ κεκορημένος· (ἀσκούπιστος, ἀφροκάλιστος, ἀσκούπιστος)· ἀκαλλώπιστος. Ἀρστφ. Νεφ. 45.

Ἀκορία, ἡ· ἀπληστία (ἀχορτασία).

Ἀκορίτης ὑπακ. οἶνος· ἐπὶ τὴν βοτάνην ἄκορον κατεσκευασμένος οἶνος· (κρασὶ μεταγγισμένον, κατεσκευασμένον μὲ τὸ χόρτον ἄκορον ὀνομαζόμενον).

Ἀκορνα, ἡ· κιτρινόδετις θαμνίσκος. Ζήτ. Ἄκαρνα.

Ἄκορον, τό· ἡ ἀρωματικὴ ῥίζα τοῦ ἀκόρου· acorum. Διοσκορ. Α'. 2.

Ἄκορος· ὁ, ἡ· φυτόν τι, πιθανῶς τὸ γερμνστ. Kalmus.

Ἄκορος, ὁ, ἡ = ἀκόρητος (κορέννυμι) ὅθεν τρπκ. συνεχής, ἀκατάπαυστος. Πνδ. Πθ. 4. 360. 2) (κορέω) μὴ κεκορημένος (ἀσκούπιστος).

Ἀκόρυφος, ὁ ἡ· (κορυφή) ἄνευ κορυφῆς, ἄνευ ἀρχῆς· (χωρὶς σουβλερὴν μύτην, χωρὶς ἀρχήν) 2) = τῷ ἑπομένῳ. Διονύσ. Ἀλικ.

Ἀκορύφωτος, ὁ, ἡ· (κορυφόω) μὴ κατηριθμημένος, μὴ κεφαλαιούμενος· λογισμῷ ἀπερίληπτος· ἀναρίθμητος (ἀμέτρητος, ἀλογάριαστος, ἀτουμάριστος).

Ἄκος, κος, τό· (ἀκέομαι) ἴασις, θεραπεία, ἰατρικόν· «κακοῦ ἄκος.» Ἰλ. Ι. καὶ Ἡρδτ. (τρόπος ἢ μέσον νὰ διορθωθῇ τι) «ἄκος οὐδὲν ἀνιατόν ἐστι (ἀθεράπευτον, δὲν ἔχει ἰατρειάν). Αἰσχ.

Ἀκοσμέω, ῶ. Μ. ήσω. (ἄκοσμος) εἰμὶ ἄτακτος,

κακοήθης, ἀπειθὴς, παρανομῶ (εἶμαι, φέρομαι, καὶ πολιτεύομαι ἄτακτα, ἀχρεῖα, μὲ κακὰ ἤθη, δὲν φυλάττω τοὺς νόμους) Σφκ. Φιλ. 387.

Ἀκοσμήεις, εσσα, εν. = ἄκοσμος· ποιητικ. παρὰ Νικάνδρ. ἀντὶ τοῦ Ἄγριος.

Ἀκόσμητος, ὁ, ἡ· (κοσμέω) μὴ συντεταγμένος, ὁ ἄτακτος· [illegible] (ἄβαλτος εἰς τάξιν· ἀστόλιστος) ἐπίῤῥ. Ἀκοσμήτως.

Ἀκοσμία, ας, ἡ· ἀταξία, σύγχυσις. Συνέσ. Ἐπιστ. 104. «πάντα ἀκοσμίας ἐμπέπλησται» καὶ ἀταξία κατὰ τὸν τρόπον τοῦ ζῆν, ἀσωτεία, ἀπώλεια, ἀπρέπεια, κακοήθεια. Δίων Κ. νζ΄. 16.

Ἀκόσμιος = ἄκοσμος.

Ἄκοσμος, ὁ, ἡ· (κόσμος) ἄτακτος, ἄνευ συντάξεως, συγκεχυμένος· ἀπρεπὴς, ἀπειθὴς, κακοήθης, ῥαθυμῶν, ἀσελγὴς, ἀκρατὴς· ἀκαλλώπιστος· παρ' Ὁμ. ἅπαξ περὶ τοῦ αὐθάδους καὶ αἰσχρολόγου Θερσίτου· (χωρὶς τάξιν, χωρὶς στολισμόν· ἄτακτος, ἀστόλιστος, ἀχρεῖος κατὰ τὰ ἤθη). Ἰλ. Β. 213. «Ὅς ῥ' ἔπεα φρεσὶν ᾗσιν ἄκοσμά τε πολλά τε ᾔδει.»

Ἀκοστέω, ῶ· καὶ ἀκοστάω. Μ. ήσω· ἀπαντώμενον μόνον ἐν τῷ «ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ» Ἰλδ. Ζ. 506. Ο΄. 263. καλῶς τεθραμμένος ἐν τῇ φάτνῃ. (ἄλογον καλὰ θρεμμένον εἰς τὸ παχνί)· ἡ ὀρθοτέρα παραγωγὴ αὐτοῦ ἀπὸ τοῦ ἀκοστή· (κριθή) ἵππος κριθιῶν· (ἄλογον μὲ κριθάρι καλὰ θρεμμένον καὶ διὰ τοῦτο πολυθυμοειδὲς, τὸ τουρκοβαρβαριστὶ ἀγρίμιο λεγόμενον) ἰδὲ Ετμ. Λεξ. 2. σλ. 171. παράβαλε καὶ κριθιάω.

Ἀκοστή, ῆς, ἡ· ἡ κριθή, παρὰ Κυπρίοις καθ' Ἡσύχ. (τὸ κριθάρι ὠνόμαζον οὕτως οἱ Κυπριῶται) ἔστι δὲ ἐν χρήσει καὶ παρὰ Νικάνδρ. Ἀλεξ. 106. «πολλάκι δ' ἐνθρύψειας ἐν ὀπταλέῃσιν ἀκοσταῖς»· ὅ ἐστιν, Ἐν πεφρυγμέναις κριθαῖς· παρὰ τὸ Ἄκος ποιεῖν τοῖς νοσοῦσι πινομένας.

Ἀκοστής· οῦ, ὁ (συγγεν. τῷ ἄκος) Ἰατρὸς φρυγιστί· (κατὰ τὴν γλῶσσαν τῶν φρυγῶν), Ἐτυμ. Τουδιάνου· κρείττων φαίνεται δὲ ἡ ἀνάγνωσις αὐτοῦ ἀκεστής. Ετμ. Λξ. 2. σλ. 174.

Ἄκοτος, του, ὁ, ἡ· (κότος) ἄνευ ἔχθους, μὴ βυσσοδομεύων ὀργήν· (χωρὶς ἐχθροπάθειαν, ὅστις δὲν κρύπτει τὸ μῖσος καὶ τὴν ἔχθραν του πρός τινα· τὸ κοινότερον· δὲν τὸ βράζει μέσα).

Ἀκουάζομαι, μετ. ἀποθτ. = ἀκούω· μετὰ γενικ. Ὁμ. 2) καλοῦμαι, προσκαλοῦμαι «δαιτὸς ἀκουάζεσθον» εἰς δαῖτα καλεῖσθε (σᾶς προσκαλοῦν εἰς φιλεῖον) Ἰλδ. Δ. 343. Ι. 7. ἰσοδύναμον τῷ, καλεῖσθαι. Παρὰ τοῖς μεταγενεστ. δὲ, καὶ ἀκουάζω.

Ἀκούβιτον, τό. Ζωναρᾶς «ἡ λέξις τῶν ἀκουβίτων τῶν Λατίνων ἐστίν· ἀκούμβω γὰρ παρὰ Ῥωμαίοις τὸ, ἀνακλίνω· σημαίνει δὲ στρωμνὰς ἡρμένας εἰς ὕψος καὶ μαλακὰς· αὗται δὲ τρυφῆς καὶ βλακείας εἰσί». Βαλσαμ. «Ἀκούβιτον λέγεται, πᾶν ἀνάκλιτον στρωμνῆς κατασκεύασμα εἰς ὕψος ἠρμένον καὶ μαλακὸν ὅθεν εὑρέθη, ὡς φαίνεται, τὸ παρ' ἡμῖν κοινῶς, ἀκουμβῶ.

Ἀκουή, ῆς, ἡ· παρὰ Ποιητ. ἀντὶ, Ἀκοή. Ὁμρ. κατὰ τὴν τρίτην μέντοι σημασίαν μόνον· δηλ. ὡς ἀποτέλεσμα, καὶ μάλιστα ἐν Ἰλ. Η. 129. μετ. μακρὰν ἠχος, θρούς, κτύπος ἐν Ὀδ. ἄς, φήμη, λόγος, [illegible].

Ἀκούρευτος, ὁ, ἡ· (κουρεύω) ὅστις δὲν κουρεύεται, ἢ δὲν ἐκουρεύθη.

Ἄκουρος, ὁ, ἡ· (κοῦρος ἀντὶ κόρος) ἄπαις, ἄνευ ἄρσενος διαδόχου ἢ κληρονόμου (χωρὶς ἀρσενικὸ παιδί) Ὀδσ. Η. 64. 2) ἄνευ κουρᾶς, μὴ κεκαρμένος (ἀκούρευτος, ἀξύριστος) Λκ.

Ἀκουροτρόφος, φου, ὁ· ἐν Ποιμάνδρ. ἀκουροτρόφος καὶ κεύθουν σώματος· φαίνεται δὲ τοῦ, ἀκουροτρόφος παρ' Ἱπποκρ. κυρίως φαίνεται τὸ εἶναι Ἀκοροτροφής, ὁ μὴ τροφῆς ὑπερπεπλησμένος· ἢ ὁ μὴ ἔχων βαρὺ καὶ παχὺ σῶμα.

Ἀκουσείω, θέλω, ἀγαπῶ, ἐπιθυμῶ νὰ ἀκούσω· ἢ νὰ ἀκούω· (ἐκ τοῦ, Ἀκούσω· μέλ.)

Ἀκουσία, ας, ἡ· τὸ θηλυκ. τῆς μετχ. ἀκούσιος (‒ ‒ ◡ ‒).

Ἀκουσιάζω, Μ. άσω· ἀκουσίως ποιῶ ἢ πράττω τι· (κάμνω τι χωρὶς νὰ θέλω, στανικὰ, μὲ τὸ στανιό) (α) Ἀριθμ. ΙΕ΄.

Ἀκουσίθεος, ὁ, ἡ· (ἀκούω) τῷ Θεῷ εἰσακουόμενος (ὅστις εἰσακούεται εἰς τὸν Θεόν). Ἐπγρ. «φέγγος ἀκουσιθέοιο», δηλ. τὸ εἰς Θεοῦ ἀκοὰς ἐρχόμενον.

Ἀκούσιμος, ὁ, ἡ· ῥᾳδίως ἀκουόμενος, εὐάκουστος (ὅστις ἀκούεται εὔκολα) Σοφοκλ.

Ἀκούσιος, ὁ, ἡ· ἔτι δὲ καὶ ἀκουσία, ἡ· συνηρμ. ἀντὶ ἀεκούσιος· μὴ θέλων, βεβιασμένος, μὴ εἰδὼς καὶ μὴ βουλόμενος, παρὰ γνώμην καὶ βούλησιν· (ὅστις δὲν θέλει, ὅστις εἶναι βιασμένος νὰ κάμῃ ἢ νὰ εἰπῇ τι ἐναντίον τῆς θελήσεώς του· χωρὶς νὰ θέλῃ καὶ νὰ ἠξεύρῃ) Ἑρμ. ἀκουσίως. Ἀριστοτ. «τὰ ἀκούσια», (α).

Ἄκουσις, σεως, ἡ· ἀκοή, τὸ ἀκούειν.

Ἄκουσμα, τό· τὸ ἀκουόμενον, τὸ ἀκουσθὲν (ὅ,τι ἀκούεται ἢ ἀκούσθηκε) τόσον μουσικῆς μέλος, ᾠδή, ᾆσμα (λάλημα, τραγῴδι, ψάλσιμον) Ξενοφ. Ἀπομ. Β΄. ά. 31. «ἀκούσμα ἥδιστον» ὡς καὶ φήμη, λόγος, διήγησις, διδασκαλία κ.τ.τ. Ἰσοκρ. Δημ. «Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω»· ἀκρόαμα.

Ἀκουσμάτιον, τό· ὑποκριτ. τοῦ ἄκουσμα Λουκ.

Ἀκουστέον· καὶ ἀκουστέα· ἐστι. ἐπίῤῥ. ἢ ἐπίῤῥημα ὄνομα, ἀπὸ τοῦ ἀκούω· πρέπει ἀκούειν ἢ ἀκούειν, νὰ πείθεται ἢ νὰ πειθῇ τις [illegible] Εὐριπ. Ἰφ. 1. 10. Ἀκουστέα. Ἡρόδ. Γ΄. 61.

Ἀκουστής, στοῦ, ὁ· ἀκροατής, μαθητής· Διοδ. Σ. Ἀλεξ. Α΄. περὶ Ἰσοκ. «γενόμενος ἀκουστὴς Προδίκου τοῦ Κείου καὶ Γοργίου.»

Ἀκουστιάω, ῶ Μ. άσω· ἀκουστικὸς εἶμαι, ἤτοι ἀκουστικὸς ἔχω· ἄπτομαι ἀκροᾶσθαι, προσέχω τι (ἀγαπῶ, προσέχω, ἐπιθυμῶ νὰ ἀκούω, νὰ μανθάνω)

Ἀκουστίζω, Μ. ίσω· παρὰ τοῖς Ἑβδομήκοντα τὸ διδάσκειν ὡς, «ὅτι περὶ τῶν ἄλλων [illegible]» ὅ ἐστι, παρ' ἄλλου ἤκουσαν ἢ ἐδιδάχθησαν. Σουίδ. ἐν Λεξ. Δίγμ. Ζήτ. Ἀκουστής.

Ἀκουστικός, κή, κόν· ὁ προσεχὴς, ἐπιμελὴς ἀκροώμενος· οὕτως ἐκαλοῦντο (ἀκουστικοὶ) οἱ τοῦ Πυθαγ. μαθηταὶ, ἐπιμελῶς καὶ προσεχῶς τοὺς διδασκάλους αὐτοῦ ἀκροώμενοι καὶ πολὺν χρόνον ἀκροαταὶ αὐτοῦ μόνον ὄντες 2) κτητικ. ἀρμόδιος, ἐπιτήδειος εἰς τὴν ἀκοήν· πᾶν ὅ,τι ἀνήκει εἰς τὴν ἀκοήν, «Πόρος ἀκουστικός», ἢ, [illegible] ὃν ἀκούομεν· καὶ, «Ἀκουστικὴ αἴσθησις», ἡ αἴσθησις τῆς ἀκοῆς, ἡ ἀκοή.

Ἀκουστικῶς, Ἐπίῤ. τὸ προσεκτικῶς, καὶ ἐπιμελῶς ἀκούειν.

Ἀκουστός, στή, στόν· ἠκουσμένος, ἀκουόμενος (ὅστις ἠκούσθη ἢ ἀκούεται) Ὕμ. Ὁμρ. Ἑρμ. 512. Ἀκροατικὸς, ἡ προσοχῆς ἄξιος, (ὅστις ἀξίζει νὰ ἀκουσθῇ)· Ἐκδ. ῥημτ. ἀπὸ τοῦ ἀκούω.

Ἀκουτίζω, Μ. ίσω καὶ Ἀττικ. ιῶ· ταυτὸν τῷ, Ἀκουστίζω (κάμνω νὰ ἀκούσῃ τις τι) ποιῶ τινα ἐπιστρέφειν εἰς τὸ ἀκούειν. Ψαλμ. Ν΄. «ἀκουτιεῖς μοι ἀγαλλίασιν», «Ἀκουτίζειν τοῦ λόγου» Ἀριστοτ. ἀντὶ τοῦ πείθεσθαι, ὑπακούειν. «Ἀκουτισθῶμεν ἀγαλλίασιν» Γρ. εἰς τὸ ἅγιον Βάπτ. ἀντὶ τοῦ, διδαχθῶμεν, ἀκροασθῶμεν.

Ἀκούω, Μλ. ἀκούσομαι (ὁ ἐνργτ. τύπος, ἀκούσω, παρ' οὐδενὶ τῶν ἀρίστων Ἀττ. εὕρηται· Schaef. Γρηγ. σελ. 1063· ἀλλὰ τὸ πρῶτον μὲν τρὶς παρὰ Λυκφ. εἶτα παρὰ τοῖς Ο΄. καὶ ἐν Ν. Δ. ἰδὲ Γραμμ. τῆς Ν. Δθ. ὑπὸ Winer σλ. 43. καὶ πολλάκις παρὰ τοῖς μεταγενστ. Διον. Ἀλκ. Λουκ. Πλ. 11. Jac. All. Τ. 1 σλ. Ι.. Τ. 3 σλ. 551. 580. 1024 καὶ μάλιστα Schaef. appar. Demosth. Τ. 2. σλ. 232) Παρμ. Ἀττ. ἀκήκοα. Δωρ. ἄκουκα. Schaef. Πλουτ. Ἀγησ. 21. παρὰ τοῖς μεταγνστ. ἤκουκα. Ὑπρσ. συλ. ἠκηκόειν. Πρμ. παθτ. ἤκουσμαι, Ἀόρστ. ἠκούσθην· Ἀκούω, ἀκροάζομαι, (ἀφηροῦμαι) πυνθάνομαι· παρ' Ὁμρ. τὰ πλεῖστα μετ' αἰτιατ. τοῦ ἀκουομένου πράγματος (ὡς. μῦθον, ὄσσαν, κλέος) καὶ μετὰ γενικ· τοῦ λαλοῦντος προσπ. (ὡς. εἰπόντος)· μετ' ἀμφοτέρων τῶν πτώσ. ἅμα «πάντα Καλυψοῦς ἤκουσα» Ὀδσ. Μ. 389. διττὴ γενικ· τοῦ προσπ. καὶ τοῦ πργμτ. Δημσθ. περὶ Στφ. σλ. 228. καὶ Μειδ. σλ. 515. πολλάκις ὅμως εὕρηται καὶ γενικὴ τοῦ πράγμ. ἢ αἰτιατ. τοῦ προσπ. ἐκτὸς ὡς. Ὀδσ. Ο. 373 «ἐκ δ' ἄρα δεσποίνης, οὐ μειλιχὸν ἔστιν ἀκοῦσαι». Παρὰ τοῖς πεζογρφ. πολλάκις· δοτικὴ μόνον σπανίως, Σφκλ. Ἠλ. 221. Τὸ πρόσωπον περὶ οὗ πυνθανόμεθα κεῖται αὐτοὺς ὁτὲ μὲν κατὰ γενικ. ὁτὲ δὲ κατ' αἰτιατ. Ὀδσ. Α. 287. 289. Δ. 458. Ἰλδ. Ω. 490. «πάι· περί τινος», Ὀδσ. Τ. 209. ἔτι δὲ καὶ αἰτιατικῇ μετ' ἀπαρμφ. Ἰλδ. Ω. 543. μάλιστα παρὰ τοῖς Λογογράφοις· ἀκούω διδάσκαλον, ἀκροῶμαι τὰς διδασκαλίας αὐτοῦ 2) τὰ πλεῖστα μετὰ γενικῆς, ἀκούω, εἰσακούω, κλύω, ὑπακούω τινος· σπανιώτερον μετὰ δοτικ. Ἰλδ. Π. 515. ὡσαύτως ἐπικολάζει ἡ γενκ. καὶ παρ' Ἡρδτ. ἔτι δὲ καὶ ἡ Αἰτιατ. οἷον· «ἄλλων μῦθον ἀκούειν» τὸν λόγον ἄλλου ἀκούειν, προσέχειν ἢ πείθεσθαι τῷ λόγῳ ἄλλου, Ὀδσ. Β. 314. Ἰλδ. Β. 200. ὅθεν ὅτε ἔστιν ὁ λόγος περὶ ἥττονος πρὸς ἀνώτερον = ὑπακούειν, συνεστ. μετὰ γενκ. Ὀδσ. Η. 11. ἔτι δὲ καὶ κατὰ μέσ. διάθεσ· ἐν ἐνεργητικῇ σημασίᾳ Ἰλδ. Δ. 331. Κατὰ ταύτην τὴν σημασίαν παρ' Ὁμρ. μὲν σπανίως, παρὰ τοῖς πεζογράφοις δὲ πολλάκις· ἀλλὰ καὶ μετὰ Αἰτιατ. παρὰ Σφκ. Ἀντγ. 64. 3) Οὐδέτ. κατὰ τὴν σημασίαν παραγγέλλεται· χρόνος· ὅθεν = εἰδέναι. Ὀδσ. Γ. 163. Δ. 94. Πλτ. Γοργ. σλ. 503. C. Πολιτ. 3. σλ. 407. Λ Νμ. 1. 1. σλ. 9.

Παρὰ τοῖς μετ' Ὅμηρον· 1) ἐσθλός, κακός, κόλαξ, ἀκούω· ἀκούω καλεῖν με (ἀκούω νὰ μὲ λέγωσι) ὅθεν ὀνομάζομαι, ἐσθλός, κακὸς κτ. λ. ὡσαύτως καὶ, εὖ, καλῶς, κακῶς, ἄριστα ἀκούειν· μὲ καλοῦσιν, ἢ ὀνομάζουσι. Ἡρδτ. 2. 173. 6, 86. 1, 8, 93. 9, 79. Ἔτι δὲ καὶ μετ' ἀπρμφ. «ἤκουεν εἶναι πρῶτος» τοὺς ἔλεγον ὅτι εἶναι πρῶτος. Ἡρδτ. 3. 131. ἀκούω ὑπ' ἐκείνου· 2) οὕτως ἀκούειν ἢ ἀκοῦσαι κατὰ πρώτην ἀκοήν, ἄνευ ἀκριβεστέρας ἐξετάσεως· ἐν χρήσει ἀεὶ ὡς αὐθύπαρκτος παρεμβεβλημένος λόγος. Δμσθ. Λεπτ. σλ. 235. ὑπὸ Wolf. Schaef. mel. σλ. 8. 3) ῥήματι δὲ πολυπραγμοσύνης ἢ περιεργείας σημαντικοῖς ἐπιφερόμενον, καταλιμπάνεται πολλάκις. Σφκ. Oid. Κ. 74· ὑπὸ Erf. 4) παρὰ Γραμματικοῖς = τῷ προσυπακούομαι, ἐνταῖς ἐλλείψεσι χρήσιμον.

Ἄκρα, ρας, ἡ· Ἰωνικ. ἄκρη (κυρίως θηλυκ. τοῦ, ἄκρος)· τὸ ἔσχατον μέρος πράγματός τινος, ἐξαιρέτως πρὸς τὰ ἄνω· ἄρα κορυφή, ἀκρωτήριον, ἀκρώρεια, ἐπ' ἀκρωρείας κείμενον φρούριον, ἢ ἀκρόπολις (κορυφή, μύτη, κορφοβούνι, Καστέλι) ἐπὶ ἀκρωτηρίου, ἢ τῆς ἄκρας χρῆται ὁ Ὁμρ. ὡς ἐπὶ τὸ πλεῖστον τῷ πληθυντ. ἀρθμ. πλὴν ἐν Ὀδσ. Ι. 285. τῷ δ' ἑνικῷ ἀεὶ ἐν ταῖς φράσεσι «κατ' ἄκρης πέρθειν», ἑλεῖν, σμύχειν πόλιν Ἀττ. κατ' ἄκρας· κυρίως ἄνωθεν πρὸς τὰ

κάτω· ἀπὸ τῆς ἀκροπόλεως ἄρχεσθαι τὸ πορθεῖν, ἐδαφίζειν· ἡ γὰρ ἀκρόπολις ἐστὶ τὸ κύριον μέρος, ἡ σκέπη καὶ τὸ ἱερὸν τῆς πόλεως. Ἰλ. Ο. 557. Ω. 728. Ἡρδτ. 6, 18, 83. «αὐτοῦ καὶ πέλασε κῦμα κατ᾽ ἄκρης« τὸ κῦμα ἔλασεν (ἐκτύπησεν) ἄνωθεν εἰς τὰ κάτω Ὀδσ. Ε. 313. παράβλ. ἄκρηθεν καὶ κατάκρηθεν· 2) ὑπερβολή· παρὰ Πνδ. Πθ. ια. 18 «ἄκρα ἐσπάραξε κνέφας (τορούπωμα ἡ σοροῦπι ατμα).

Ἀκράαντος, ὁ, ἡ· (κραιαίνω) = ἄκραντος· μὴ τετελεσμένος, ἀτέλεστος· μὴ ἀποβάς, ἄνευ ἀποβάσεως (ἀτελείωτος, μὲ χωρὶς ἀποτέλεσμα) Ἰλ. Β΄. 138. «ἄμμι δὲ ἔργον αὔτως ἀκράαντον«. (υ – – υ).

Ἀκραγής, γέος, ὁ, ἡ· (κράζω) μὴ κράζων, ἄφωνος, βουβὸς (μοῦτος) 2) μετφρ. ἐπὶ ὀργίλων καὶ ἀσθενῶν, διὰ τὸ ἐλλείπειν τὴν φωνὴν ἐκείνοις μὲν δι᾽ ὀξυχολίαν, τούτοις δὲ δι᾽ ἀδυναμίαν. Ἡσχ. ὅστις καὶ ἄκραγος τίθησιν. Ὁδ᾽ Αἰσχύλ. Προμ. 809. «ἀκραγεῖς κύνας«. Ἐτυμολ. ἔχει καί, Ἀκραγὲς παιδίον, τὸ κλαῖον πάντοτε ἡ κεραπολύ· καί, Κραγὸν κράζων· τοῦ α κατ᾽ ἐπίτασιν, δηλ. μεγάλως κράζων.

Ἀκράδαντος, του, ὁ, ἡ· (κραδαίνομαι) ὁ μὴ κραδαινόμενος, μὴ κραδανθεὶς· ἄσειστος, ἀσάλευτος, ἀκίνητος, (ὅστις δὲν σαλεύεται ἡ δὲν ἐσαλεύθη ἀπὸ τὸν τόπον του· ἀτράνταχτος).

Ἀκραεί, Ἐπίρ. ἀπὸ τοῦ Ἀκραής· «ἀκραεὶ πλεῖν« εὐδίῳ ἀνέμῳ πλέειν (πλεύσιμον ἡ ταξείδι μὲ καλὸν καὶ ἁρμόδιον ἄνεμον).

Ἀκραής, έος, ὁ, ἡ· (ἄκρος, ἄημι) σφοδρῶς πνέων, παρ᾽ Ὁμ. καὶ Ἡσδ. ὁ Ζέφυρος, καὶ ὁ Βορρέας. Ὀδ. Β. 421. «ἀκραῆ Ζέφυρον«· ἔνθα ὁ Σχολ. «ἐπιτήδειον, ἄκρως πνέοντα πρὸς τὴν χρείαν, οὔτε πλέον, οὔτ᾽ ἔλαττον· ἡ τὸν μὴ κεκραμένον, ἀλλ᾽ ἀκριβῶς Ζέφυρον«· ὁ δ᾽ Ἀπολλών. Α΄. 605. «ἀκραὴς οὖρος«, ἐπιτήδειος πρὸς πλεύσιμον ἄνεμος· ὅθεν καὶ Ἡσύχ. «ἀκραέα, οὔριον«· τῷ αὐτῷ χρῆται, καὶ Ἀρριαν. Ἰνδικ. σελ. 339. «ἔπλεεν ἀκραεῖ«, ὅ ἐστιν εὐδίῳ ἀνέμῳ· παρὰ Κικ. Ἀττικ. Γ΄. 17. εὑρίσκεται καί, Ἀκραές, τὸ ἐναντίον τῆς ταραχῆς.

Ἀκραῖος, ὁ, ἡ· Ἄκρος· καὶ Πληθυντ. τὰ Ἀκραῖα, οὐσιαστ. ἀντί, τὰ ἄκρα τοῦ σώματος. Γαλην. «μετὰ τῆς τῶν ἀκραίων ψύξεως« 2) οἱ ὑψηλοὺς τόπους, ἡ ἀκρωρείας οἰκοῦντες (ὅσοι κατοικοῦν εἰς ὑψηλὰ μέρη, ἡ εἰς τὰ κορφοβούνια) ἐπίθτ. τῆς Ἥρας καὶ τῆς Ἀφροδίτης, ὡσαύτως καὶ τῆς Ἀθηνᾶς ἐν Ἄργει. «Ἀκραῖοι θεοί«, καὶ «Ἀφροδίτη ἀκραία«, Παυσαν. οἱ ἐν ταῖς Ἀκροπόλεσι θεοί.

Ἀκραίπαλος, ὁ, ἡ· (κραιπάλη) μὴ μεθυσκόμενος, μὴ μεθυσθείς, ἄνευ μεθύσεως· ἀμέθυστος· (ὅστις δὲν ἐμέθυσεν, ἡ δὲν μεθᾷ· χωρὶς μεθύσι, ἀμέθυστος) 2) Ἐνεργ. μεθύσεως μὴ προξενος, καὶ τὴν μέθυσιν κωλύων (ὅστις δὲν προξενεῖ μεθύσι, καὶ ὅστις ἐμποδίζει τὸ μεθύσι) ἀντιφάρμακον τῆς μεθύσεως, τό. Διοσκ. Α΄. 25. «κρόκος ἀκραίπαλός ἐστι μετὰ γλυκέος πινόμενος«.

Ἀκραιφνής, έος, ὁ, ἡ· κατὰ συγκπ. τοῦ Ἀκεραιόφανής· Ἀκέραιος, ἀμιγής, καθαρός, γνήσιος (ἀνακάτωτος, καθάριος) Εὐρπ. πενία ἀκρ. (καθάρια πτώχεια) ὅθεν 2) ἀβλαβής, σῶος. Σφκ. Οἰδ. Κ. 1147. Ἐπίρ. Ἀκραιφνῶς.

Ἀκραλιπῆ, Καλλίμ. Ἐπιγρ. ἐσφαλ. ἀναγν. ἀντί, ἁβρὰ λίπη.

Ἄκραντος, ὁ, ἡ· (κραίνω) ἀτελής, ἀνεκπλήρωτος, ἄνευ ἀποτελέσματος, κενός, μάταιος (ἀτελείωτος, χωρὶς ἀπακολουθα, ἄδειος, κοῦφιος) Πινδ. «ἄκραντον ἔπος«, καὶ «ἄκραντος ἐλπίσι λόγος κενοί«, μάταιαι ἐλπίδες (ἄδεια λόγια, λόγια 'στὸν ἀέρα· κοῦφιαις ἐλπίδαις). Πνδ. 2) Καὶ ἀντὶ τοῦ Αἰώνιος, παντοτεινός, ἄνευ τέλους. Αἰσχύλ. Χοηφ. 63. «ἄκραντος νύξ«· (νύχτα μὲ χωρὶς τέλος).

Ἀκραξόνιον, (ἄκρος, ἄξων) τὸ τοῦ ἄξονος ἄκρον (ἡ κορυφὴ ἀπὸ τὸν ἄξονα). Πολυδ. Ὀνοματτ. Α΄. 145.

Ἀκρασία, ας, ἡ· (ἄκρατος) κακή, φαύλη μίξις (κακὸν ἀχρεῖον ἀνακάτωμα). Πλάτ. Γοργ. «ἀκρασία τοῦ ἀέρος«· διεφθαρμένος ἀὴρ (χαλασμένος, κακός, βλαβερὸς ἀέρας) ἀντίθετον τῷ, εὐκρασία. Δίων. Κατ.

Ἀκρασία (ἀκρατής) = ἀκράτεια· (‾υυυ–, Μόρχ. Ἀργυτ. 16.) «μὴ ἄλλος ἄλλον ἀκρασίᾳ νικᾶν σπουδάζωμεν· ἀκρασία γὰρ ἐμοὶ πᾶν τὸ περιττόν, καὶ ὑπὲρ τὴν χρείαν, καὶ ταῦτα πεινώντων ἄλλων«. Γρηγ.

Ἀκραταῖος, αία, αῖον· (κρατέω) = Ἀκρατής, πάνυ ἐσφαλμένη ἀνάγν. Ἀριστίας παρ᾽ Ἀθην. 15, σελ. 686. Α. «πηδῶν ἀκραταίαν«· ἔνθα ὁ Dindorf ἀκρατέα γράφει. παρβλ. Σφκλ. Φιλ. 1097. ὑπὸ Ἑρμάνου.

Ἀκράτεια, ας, ἡ· (ἀκρατής) = ἀκρασία, ἀπὸ τοῦ, κράτος· ἀσέλγεια, ἀσωτία. 2) ὑπερβολή, καὶ ἡ ἐξ αὐτῆς γεννωμένη ἀδυναμία· ἡ τοῦ στομάχου ἀδυναμία διὰ πολυφαγίαν· καὶ Ἱπποκ. καὶ Ἀρετ. «ἀκρασίη σώματος, χειρός, γουνάτων κ. τ. λ.« ὅθεν καὶ παρὰ Ξενοφ. Κ. Π. ς΄. «ἀκράτεια τῶν προσφερομένων«. 3) ἡ πρὸς τὸ λαλεῖν ἀκρασία· (ἀκράτητη γλῶσσα). Πλτ. ἐν Λυκοῦρ. 4) Ἀνωμαλία, Ἰώσηπ. «οἱ δὲ Ῥωμαῖοι διὰ χειρῶν ἀκρασίαν ἀλίσκονται«. Ἀκρασία δὲ ἀκολασίας διαφέρει, ἡ μὲν γὰρ κατὰ προαίρεσιν πράττει τὰ αἰσχρά, λέγεται καὶ Ἀκράσιον. «οὔποτε εἰς πᾶσαν ἀκράσιον ἀκαιρομανίαν τρίβουσι«. Ἀκρασία δέ, ἕξις βιαστικὴ περὶ τὸν ὀρθὸν λογισμόν. Εὐδημ. Λεξ. ἀντίκειται δὲ ἡ ἀκράτεια τῇ ἐγκρατείᾳ (ᾱ).

Ἀκρατεύομαι, Μλ. σομαι μτ. ἀποθτ. εἰμὶ ἀκρατής, ζῶ καὶ πράττω ἀκρατῶς (εἶμαι δοσμένος εἰς τὰ πάθη). Ἀριστοτ. Ἠθικ. Ζ. 3. 3.

Ἀκρατευτικός, κή, κόν· ἐξ ἀκρατείας προερχόμενος.

Ἀκρατέω· εἰμὶ ἀκρατής· ἐκ τοῦ

Ἀλετών, ῶνος, ὁ· τόπος ἔνθα γίνεται ἡ ἄλεσις· μύλος· Ἀθην. σελ. 263 ὁ δ' Ἑλλάδ. καὶ Μεσούρ. ἐκλαμβάνουσι τὴν λέξιν, ἀντὶ τῆς κινητῆς ἢ τῆς ἐπάνω μυλωνόπετρας.

Ἀλευάδαι, οἱ· ἐλέγοντο ἐν Λαρίσσῃ τῆς Θετταλίας οἱ ἀπὸ τοῦ Ἀλεύου βασιλέως τὴν καταγωγὴν ἔχοντες.

Ἀλευρίτης, ου, ὁ· ἐκ σιταρίου ἀλεύρου (ἀπὸ ἀλεύρι σιταρίσιο).

Ἀλευρόμαντις, εως, ὁ· διὰ παρατηρήσεως ἐν ἀλεύροις προφητεύων· Ἐπιθ. τοῦ Ἀπόλλωνος (ἀλευροπροφήτης)· Κλήμ.

Ἄλευρον, τό· (ἀλέω) ἄλευρον σιτάνιον (ἀλεύρι σιταρίσιον· ἐν γένει δὲ πᾶν λεπτότατον ἄλευρον (ἀλεύρας ἀπὸ κάθε λογῆς ἀλεύρι)· συνήθως κατὰ πληθυντ. ἀριθμ. διάφορον τοῦ, ἄλφιτα· Ἡρδ. 7, 119.

Ἀλευροκοπέω· ἄλευρον κόπτω· (κάμνω ἢ φκιάνω ἀλεύρι).

Ἀλευρόσησις, εως, ἡ· (ἄλευρον) σήστρον ἀλεύρου (ἀλευρόσειτα, σίτα μὲ τὴν ὁποίαν κοσκινίζουν ἀλεύρι). 2) τὸ ἄλευρον διαττήθειν (ἀλευροκοσκίνισμα). 3) διαττημένον ἄλευρον (ἀλεύρι κοσκινισμένον).

Ἀλεύω· (ἄλη, ἀλέα, κατὰ τὴν α'. σημασ.)· σπανίως ἐν χρήσει κατ' ἐνεργ. διάθεσιν· ἀπομακρύνω· πόρρω, ἢ ἐκποδὼν ποιοῦμαι, ἀπαλλάττω (ἀπομακρύνω) Αἰσχλ. ἐξαιρέτως ἐπὶ ἀποτροπῆς πονηρῶν δαιμόνων δυνάμεως· Μσ. ἀποθ. ἀλεύομαι, ἐκτρέπομαι, ἐκφεύγω, φυλάττομαι (ἀποφεύγω, ἀπομακρύνω ἀπὸ τὸν ἐαυτόν μου, φυλάγομαι)· ὡς τὸ ἀλέομαι· μετὰ αἰτ. σπανιώτερον δὲ μετὰ ἀπαρεμφ. ἢ ἀπολύτως· ὁ Ὁμρ. χρῆται μάλιστα τῷ συγκοπτομένῳ ἀοριστ. ἀλευάμην, ἀντ. ἠλευάμην· ἀπαρεμφ. ἀλέασθαι, Μτχ. ἀλευάμενος· Προστακτ. ἄλευαι.

Ἀλεχής, ὁ, ἡ· (λέχος) = αἰνολεχὴς ἀνεγγαμοτέον, ἴσως, παρ' Εὐρπ. Ἠλ. 480.

Ἀλέω, Μλ. ἀλέσω· Πρτκ. ἤλεσα· Παρκμ. ἐνεργ. Ἀττκ. ἀλήλεκα· παθητ. Πρκμ. ἀλήλεσμαι· παρὰ Θεδ. 4, 26. εἰς ἀλήλεμαι μένοντος τοῦ Βεκκέρου Bekker, μεταβληθέν· ἀλλ' ὅμως παράτε Ἀμφ. Ἀθήν. 14. σλ. 643. Δ. καὶ παρ' Ἡρδ. 7, 23. ἐσφαλμένως προσλήψει τοῦ σ κείμενον. Ἀλέθω καὶ ἀλήθω (ἀλέθω εἰς τὸν μύλον)· κατὰ πυρὸν ἀλετρεύειν Ὀδσ. Τ. 109. (συγγεν. κατὰ παραγωγ. τῷ ἄλω, ἀλαί, οὐλαί· Βτμν. Λξ. 1, σελ. 195).

Ἀλέω = ἀλεύω, ἀλέομαι· ἀμφβ.

Ἀλέω· (ἀλής) = ἀλίζω (ἀλατίζω).

Ἀλεωρή, ἡ· (ἀλέα, ἄλη) ἀλέξημα, ἄμυνα, ἔρυμα (βοήθημα, διαφέντευμα προφύλαγμα, στερέωμα ἀπὸ τι κακόν) κατὰ, δηίων ἀνδρῶν· Ἰλδ. Μ. 57. ἐν Ο'. δέ, 533. ἐπὶ διώκτου· Ω. 216. ἀποφυγή, ἔκκλισις· ἐξαιρέτως δὲ ἐπικούρημα ἐχθρῶν, βοήθεια, ἐπικουρία, τιμωρία· (διαφέντευμα ἀπὸ ἐχθρούς, βοήθεια, συνέργημα)· Ἡρδ. 9, 6. Παρ' Ὀππν. δέ, καταφυγή.

Ἀλέως, Ἐπρρ. ἀπὸ τοῦ ἀλής· ἀντὶ ἀθρόως.

Ἀλεώσσω = ματαΐζω, μωραίνω· παρ' Ἡσυχ. δὲ Ἀλεώττω, ἐκ τοῦ ἀλεός = ἠλεός.

Ἄλη, ἡ· πλάνη, τὸ περιπλανᾶσθαι, ἀλωδεῖσθαι τῇδε κἀκεῖσε ἄοικον, ἄπολιν, ἄστεγη περιφέρεσθαι (πλάνεμα, τὸ νὰ περιφέρηταί τις ἐδῶ καὶ ἐκεῖ ἔρημος, χωρὶς πατρίδα, χωρὶς σπῆτι, χωρὶς στεκατὴν νὰ σταθῇ πουπέτω)· Ὀδσ. 2) τρπκ. λογισμῶν, περιέλαξις, ἀγωνία, φροντίς, ἀδημονία, παράνοια, παραφροσύνη, φρενοβλαβία· (τὸ νὰ τρέχῃ τις μὲ τοὺς στοχασμούς του ἐδῶ καὶ ἐκεῖ· στενοχώρια, θλίψις, τρέλλα)· παρὰ τοῖς Τργκ. 3) ἐνεργητ. πάλαι βροτῶν· τὸ ἀποπλανᾶν, ἐξαπατᾶν ἀνθρώπους (ξεπλάνευμα τὸ νὰ ξεπλανᾷ, ἀπατᾷ τις τοὺς ἀνθρώπους)· Αἰσχ.

Ἀληγός, ὁ, ἡ· (ἅλς, ἄγω) ὁ ἄγων καὶ ὁ, ἐν ᾧ ἄγεται ἅλας· (ἀλατοκουβαλητής, ὅστις κουβαλεῖ, καὶ εἰς τὸν ὁποῖον βάνουν καὶ κουβαλοῦν ἅλας) κἀληγὸν πλοῖον· (καράβι ἀλατοφορτωμένον)· Πλτχ.

Ἀληθάργητος, ὁ, ἡ· (λήθαργος) ληθαργίας ἐλεύθερος, ληθαργίαν μὴ παθὼν ἢ μὴ πάσχων (ἐλεύθερος ἀπὸ τὸ πάθος τῆς ληθαργίας, δηλ. ἀπὸ ἀκατάπαυστον βαθὺν ὕπνον· ὅστις δὲν ἔπαθεν ἢ δὲν πάσχει ἀπὸ ληθαργίαν).

Ἀλήθεια, ἡ· Ἰων. ἀληθείη, καὶ ἀληθηΐη· Ἡρδτ. ὁ Ὁμρ. χρῆται ἀεὶ τῇ φράσει ἀληθείην μυθεῖσθαι, καταλέγειν, ἢ ἀποειπεῖν· ἀληθῆ ἢ ἀλήθειαν λέγειν· πᾶσαν ἀληθείην παιδὸς μυθήσομαι· τὴν τελείαν ἀλήθειαν περὶ τοῦ υἱοῦ λέξω σοι· (τὴν καθάριαν ἀλήθειαν θὰ σ' εἰπῶ διὰ τὸν υἱόν)· Ὀδσ. Λ. 505. πᾶς ἀληθείας λέγειν (τὴν σωστὴν ἀλήθειαν νὰ ὁμιλῇς)· Μένδ. 2) Πιστότης, τὸ φιλαλῆθες, τὸ ἁπλοῦν καὶ πιστόν, ἁπλότης, χρηστότης, ἀνυποκρισία, ὁ τρόπος τοῦ ἀληθοῦς· (πιστοσύνη, ἁπλότητα, ἀνοιχτὴ καρδία, ἀδιπροσωπία, ὁ χαρακτῆρας τοῦ ἀληθινοῦ)· 3) Οὐσία, ὑπόστασις, τὸ ἀληθῶς ὄν, ὕπαρξις, τὸ καθ' ὑπόστασιν εἶναι, τὸ κατὰ φύσιν ὄν, πραγματικὴ ἀπόδειξις, πλήρης ἀπόβασις, π. χ. ὀνείρατος, μαντείας, προφητείας· Τιμαι. σελ. 113. ὑπὸ Ruhnk. Διτ. περὶ τυφθ. σλ. 272. ὑπὸ Schaef. 4) σαπφείρινός τις στολισμὸς (στολίδι ἀπὸ ζαφείρι) τῶν Αἰγυπτίων ἀρχιερέων, σύμβολον τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης· Διόδ. 1. 48. Αἰλ. πκλ. Ἱστρ. 14, 34.

Ἀληθευτικός, ή, όν· ὄντως ὤν, ὑπάρχων, ἀληθινός.

Ἀληθεύω· Μλ. εύσω· εἰμὶ ἀληθής, ἀνυπόκριτος, εἰλικρινής, ἄνευ δόλου, ἀνυπόστολος· λαλῶ ἀλήθειαν· (εἶμαι ἀληθινός, μὲ χωρὶς δόλον, ἀνοιχτόκαρδος, ἀδιπρόσωπος, ὁμιλῶ τὴν καθάριαν ἀλήθειαν, δὲν λέγω ἕνα δι' ἄλλο): ἐπὶ μαντειῶν καὶ χρησμῶν· προλέγω, προμαντεύομαι ὀρθῶς, ὥστε ἡ προμαντεία ἐφαρμόττει, συμβαίνει (ὁμοιάζει, συμφωνεῖ, τεριάζει καθὼς προφητεύσα)· Μσ. δέ, ἀληθεύομαι, ἔχω ἀπόβασιν, ἀποτελεῖται, ἐκπληροῦται, ἀποβαίνει κατὰ τὸ ὂν ἡ μαντεία (γίνεται μὲ τὰ σωστά, εὐγαίνει καθὼς εἶπα)· Ξνφ. Ἀνβ. Δ. 15. ἐπειδ' ἀληθεύσειαν ἡ μαντεία. 2) μετὰ αἰτιατ. λέγω, ἀπαγγέλλω, μαρτυρῶ ὡς ἀληθές· Βτρχμχ. ἀλήθευσον πάντα· λέγω ὅτι ἀληθῶς ἔχει τι, ἀποδεικνύω μί τι ἀληθές, βεβαιῶ, ἐκπληρῶ τὸ ῥηθὲν (βεβαιώνω, δείχνω μὲ τὰ σωστὰ ὅτι εἶπα τὴν ἀλήθειαν) ὅθεν, ἐπιτελῶ ἃ ὑπεδεξάμην (κρατῶ τὸν λόγον μου).

Ἀληθής, ὁ, ἡ· (λήθω, λαθεῖν)· ἀνυπόστολος, ἀψευδής, ἀνυπόκριτος, ἄδολος, εἰλικρινής, ἀληθινός· παρ' Ὁμρ. ἀεὶ περιφραστικῶς, ἀληθέα μυθήσασθαι, εἰπεῖν, ἐνισπεῖν, ἀγορεύειν· πλὴν ἐν Ἰλδ. Μ, 433. ὡς ἀληθὴς γυνὴ, ἀγαθή, χρηστή, δικαία, ἀπειρόκακος. ἄκακος γυνή, οὐχὶ δὲ ὡς τινες ἐθέλουσιν = ἀκριβής. 2) ἐπὶ πραγμάτων· ἀληθινός, ὀρθός, πρέπων, οἰκεῖος τῇ ἀληθείᾳ, ὄντως οὕτω καὶ οὐκ ἄλλως ἔχων, ἀσφαλής, ἀναμφίβολος, πιστός, γνήσιος· κἀληθ. λέγειν· Ἡρδτ. ἰδὲ ἀληθινός· 3) Ἐπρρ. ἀληθῶς, Ἰων. ἀληθέως, Ἡρδτ. ὅτι δὲ καὶ τὸ οὐδέτερον προπαροξυτονούμενον κατ' ἐπιρρηματικὴν ἔννοιαν, ἄληθες; ὄντως; οὐκ ἄρα γε; ἢ γάρ; εἰρωνικῶς (μὲ τὴν ἀλήθειαν; μὲ τὰ σωστά; ἔτζι;) Σφκ. Οἰδ. Τ. 350. Ἀριστφ. Ἀχ. 557. Βάτρ. 840. Τὸ ἀληθές· ὄντως, τῷ ὄντι, ἐπ' ἀληθείας· Ἡρδτ.

Ἀληθίζομαι, μέσ. ἀποθ. = ἀληθεύω· Ἡρδτ. παρὰ τοῖς μεταγενεστ. δέ, καὶ ἀληθίζω.

Ἀληθινολογία, ἡ· τὸ ἀληθῆ λέγειν.

Ἀληθινός, ή, όν· ἀψευδής, ἀνυπόκριτος, δικαίας, ὀρθῆς γνώμης· ἀδόλου ψυχικῆς διαθέσεως· 2) πιστός, ἀναμφίβολος, βέβαιος, ἀκριβής, γνήσιος· τῷ ὄντι ὤν· Ἐπρρ. ἀληθινῶς· Ξνφ. Ἀνβ. Α'. 9. 17.

Ἀληθογνωσία, ἡ· (γνῶναι) γνῶσις, κατάληψις, σύνεσις, νόησις, διάγνωσις, γνώρισις τοῦ ἀληθοῦς· (γνώρισμα τῆς ἀληθείας· τὸ νὰ γνωρίζῃ, διακρίνῃ, καταλαμβάνῃ τις τὴν ἀλήθειαν).

Ἀληθοεπής, ὁ, ἡ· (ἔπος) ἀληθῆ λέγων· (ὅστις λέγει, ὁμιλεῖ τὴν ἀλήθειαν).

Ἀληθόμαντις, εως, ὁ, ἡ· (μάντις) τὴν ἀλήθειαν προφητεύων (ὅστις προφητεύει τὴν ἀλήθειαν)· Αἰσχλ. Ἀγμ. 1249.

Ἀληθομυθεύω· λέγω τὴν ἀλήθειαν· Δμκρ. παρὰ Στοβ. Ὁμλ. ια'. ἀπὸ τοῦ

Ἀληθόμυθος, ὁ, ἡ· (μῦθος) ἀληθῆ λαλῶν (ὅστις ὁμιλεῖ, λέγει τὴν ἀλήθειαν)· Δμκρ. Γνμ.

Ἀληθορκέω· (ὅρκος) ἀληθῆ ὀμνύω· (ὀμόνω, ὁρκίζομαι τὴν ἀλήθειαν) Αἰσχλ. Ἀγμ. 1252.

Ἀληθοσύνη, ἡ· ποιητκ. ἀντὶ ἀλήθεια· Θγν. 1177.

Ἀληθουργής, ὁ, ἡ· (ἔργον) ἀληθῆ πράττων, ἢ ποιῶν, εἰλικρινῶς προσφερόμενός τινι· ὀρθῶς χρώμενός τινι (ὅστις φέρεται ἀληθινά, μὲ εἰλικρίνειαν, κάμνει τὰ πράγματά του μὲ ἀλήθειαν, χωρὶς δόλον) Ἡρκλ. Ἀλληγ. 67.

Ἀλήθω, Μλ. ἀλήσω· κοινὸς τύπος τοῦ, ἀλήθω· ἀντὶ τοῦ Ἀττκ. ἀλέω.

Ἀληθῶς· Ἐπρρ. ἀπὸ τοῦ ἀληθής, ὅπερ ἰδέ.

Ἀλήϊον πεδίον, τό· χώρα τις ἐν Λυκίᾳ, (τῇ τουρκοβαρβαριστὶ Ἀϊδινελλί)· Ἰλδ. Ζ. 201.

Ἀλήϊος, ὁ, ἡ· (λήϊον) ἀγροῦ ἐστερημένος, ἄνευ φανερῶν κτημάτων, ἀκτήμων, χρημάτων ἐνδεής, ἄκληρος, πτωχός (ὅστις δὲν ἔχει χωράφια, ἀκίνητα κτήματα, ὑποστατικά, εἶναι χωρὶς κατάστασιν, πτωχός)· Ἰλδ. Ι. 125, 267. ἀντιθέτως τῷ πολυλήϊος· 2) (ληΐη Ἰων. ἀντὶ λεία) ἄνευ λαφύρων, σκύλων, σκυλευμάτων (τῶν ἐν πολέμοις)· ἄνευ ἁρπάγματος, συλήματος (διὰ ληστείας) (ὅστις δὲν ἐκούρσευσε δὲν ἅρπαξε, δὲν ἔκαμε πλιάτσικα, τὸ τῶν τουρκοβαρβάρων τῆς Ἠπείρου).

Ἄληκτος, ὁ, ἡ· (λήγω) ἀκατάπαυστος, ἀδιάλειπτος, καὶ Ὁμρ. ἀεὶ τῷ ποιητκ. τύπῳ ἄλληκτος, χρώμενος· κἄλληκτος χόλοιο· οὐδέποτε ὀργῆς παυόμενος (ὅστις δὲν παύει νὰ εἶναι πάντοτε θυμωμένος) Ἰλδ. Ι. 636. Ἐπίρρ. Ἀλήκτως.

Ἀλήλεκα, ἀλήλεσμαι, ἀττκ. παθτκ. καὶ ἐνργ. Παρκμ. τοῦ ἀλέω.

Ἀλήλιφα, ἀλήλιμμαι· ἀττκ. ἐνργ. καὶ πθτκ. Πρκμ. τοῦ ἀλείφω.

Ἄλημα, τό (ἀλέω) κυρίως, τὸ λεπτότατον ἄλευρον (ἀλεύρι)· 2) τρπκ. πολύτροπος, ἐπίτριπτος, πανοῦργος ἄνθρωπος (διαβολικός, τετραπερατμένος, δόλιος). ὡς τό, παιπάλημα, τρίμμα: οὕτω καλεῖται ὁ Ὀδυσσεὺς παρὰ Σφκ. Αἰ. 381, 389. (ἡ δὲ παραγ. τῆς λέξ. ἀπὸ τοῦ ἄλη, ψευδής ἐστι).

Ἀλήμεναι, ἀντὶ ἀλῆναι· Ἐπκ. ἀπρμφ. ἀόρ. β'. παθτκ. ἐκ τοῦ ἐάλην τοῦ εἴλω· Ἰλδ. Ε. 823. Σ. 76. ὑποχωρεῖν, εἰς τὰ ὀπίσω τρέπεσθαι (τραβιοῦμαι ὀπίσω, ῥετιράρω ἰταλ.).

Ἄλημι, ὑποθετικὸν ἢ νομιζόμενον πρωτότυπον ῥῆμα εἰς παραγωγὴν τοῦ τῷ εἴλω προσήκοντος παθτκ. ἀόρ. β'. ἐάλην, ἀπρμφ. ἀλῆναι, Ἐπκ. ἀλήμεναι· Ἰλδ. Ε. 823. Ν. 408. Τ. 163. Βτμν. λξ. 2. σλδ. 145.

Ἀλημοσύνη, ἡ· (ἄλη) περιπλάνησις· Διον. Περιηγ. 715.

Ἀλήμων, ονος, ὁ, ἡ· (ἀλάομαι) ἀγύρτης, πλάνης (πλάνος, βαγαπόντος Ἰταλ. ξεμαχονάρης, ματτσουκᾶς, σακκολέβης)· Ὀδσ.

Ἀλῆναι· ἀπρμφ. παθητ. ἀόρ. β΄. ἀπὸ τοῦ ἐάλην, τῷ εἴλω προσηκ. Ἰλδ. Π. 714. ὑποχωρεῖν· ἰδὲ ἀλήμεναι.

Ἀλήπεδον, τό· ἰδὲ ἀλίπεδον.

Ἄληπτος, ὁ, ἡ· (λαμβάνω) μὴ λαμβανόμενος, μὴ ληφθείς, ἀκαταμάχητος· (ὅστις δὲν πιάνεται, δὲν ἐπιάσθηκε, δὲν παίρνεται, δὲν πάρθηκεν· ἀνίκητος)· 2) ἀνέλεγκτος, ἀνεξέλεγκτος, ἀνεπίληπτος, ἄμεμπτος· (ὅστις δὲν πιάνεται ἔνοχος εἰς τίποτε, ἀκατηγόρητος· μὲ χωρὶς λεκέν, τὸ τουρκοβάρβαρον)· Θεό. Α΄. α΄. 3) ἀκατάληπτος, ἀκαταμάθητος, ἀδιανόητος· (τὸν ὁποῖον δὲν ἠμπορεῖ τις νὰ καταλάβῃ, νοήσῃ)· Πλτχ. 4) παρὰ τοῖς Στωϊκοῖς δέ, ἄληπτα λέγονται τὰ ἀπαράδεκτα πράγματα, ἀντιθέτως τῷ ληπτά· Σεξτ. ἀλήπτως· (ἄπιαστα, ἄπαρτα).

Ἀλής, ὁ, ἡ· καὶ ἀλής, Ἐπκ. καὶ Ἰων. = τῷ Ἀττκ. ἀθρόος· συνηγμένος, συναθροισμένος, συλλελεγμένος, σεσωρευμένος, σωρηδόν, πανδημεί, πανστρατιᾷ, παμπληθεί (συναγμένος, σωριασμένος, ὅλοι μαζί, μὲ τὸν σωρόν) παρ᾽ Ἡρόδ. πολλάκις· (ἀλέω, ἀλίζω, ἀλία· ἔστι δὲ συγγν. καὶ τῷ, ἀολλής)· (α;).

Ἀλήσιμος, ὁ, ἡ· (ἀλέω) ἀλήθεσθαι, συντρίβεσθαι ἔχων· (ὅστις ἠμπορεῖ νὰ ἀλέθηται νὰ ἀλεσθῇ, νὰ συντρίβηται, νὰ συντριβῇ).

Ἄλησις, εως, ἡ = ἄλη· ἐπὶ τῆς τοῦ ἡλίου περιφορᾶς· Ἀρτ.

Ἀλήστευτος, ὁ, ἡ· (ληστεύω) ἄσυλος, ἀδιάρπαστος· (ἀκούρσευτος· ὅστις δὲν κουρσεύεται, δὲν εἶναι δυνατὸν νὰ κουρσευθῇ, δὲν ἐκουρσεύθηκε).

Ἄληστος, ὁ, ἡ· (λήθω) Ἰων. ἀντὶ ἄλαστος· εἰς λήθην μὴ ὑποπεσών, μὴ ὑποπίπτων· μὴ ἀπαλγηθείς, μὴ ἀπαλγούμενος· πικρός, χαλεπός (ἀλησμόνητος, ἀξέχαστος· τὸν ὁποῖον δὲν ἀλησμόνησε, δὲν ἐξέχασε, δὲν εἶναι δυνατὸν ν᾽ ἀλησμονήσῃ νὰ ξεχάσῃ τις, πικρός, θλιβερός).

Ἄληται· ὑποτακτ. μέσ. ἀόρ. β΄. κατὰ συγκ. ἐκ τοῦ ἄλλομαι, πηδῶ, σκιρτῶ· Ἰλδ. Φ. 536.

Ἀλητεία, ἡ· πλάνη, περιπλάνησις· ἀπὸ τοῦ:

Ἀλητεύω· (ἀλήτης) περιπλανῶμαι, περιφέρομαι ἔνθεν κἀκεῖθεν· (τρέχω ἀπὸ τόπον εἰς τόπον 'σὰν χαμένος· ζητιανεύω, ξενιτεύομαι)· ἐν Ὀδσ. Σ. 113. ἐξαιρέτως ἐπὶ τῶν τὰς χώρας περιοδευόντων ἀγυρτῶν, ἐπαιτῶν, μεταιτῶν· (ζητιάνων, ζητιάνων). Ἐπὶ κυνηγῶν Ὀδσ. Μ. 330. ἐν Ἰλδ. δὲ οὐδαμοῦ εὕρηται.

Ἀλητήρ, ῆρος, ὁ· ὀρχήσεώς τις τρόπος παρὰ Σικυωνίοις (εἶδος χοροῦ τὸν ὁποῖον συνήθιζαν οἱ Βασιλικιῶται 'ς τὸν Μωρέαν).

Ἀλητήριος· ὁ· = κατήγορος, ἢ συκοφάντης· (ἀγκαλεστής, καταδότης)· ὠνόμασται ἀλητήριον, ὅτι ἀλεύεσθαι καὶ φυλάξεσθαι διὰ μοχθηρίαν καλῶς εἶχεν· Πλτχ. Πρβλ. Ἑλλην. καὶ ὁ αὐτὸς περὶ Πολυπρ. ~~λέ~~γεται δὲ καὶ τὸν ἀλητήριον ἐκ φιλοπραγμοσύνης κατονομασθῆναι τὸ πρῶτον· λιμοῦ γάρ, ὡς ἔοικεν, Ἀθηναίοις ἰσχυροῦ γενομένου, καὶ τῶν ἐχόντων πυρὸν εἰς μέσον οὐ φερόντων, ἀλλὰ κρύφα καὶ νύκτωρ ἐν ταῖς οἰκίαις ἀλούντων, περιιόντες ἐτήρουν τῶν μύλων τὸν ψόφον, εἶτα ἀλητήριοι προσηγορεύθησαν.

Ἀλήτης, ὁ· (ἀλάομαι) πλάνης, περιπλανώμενος, ἀγύρτης (πλάνος, ὅστις περιφέρεται ἐδῶ καὶ ἐκεῖ 'ς τὰ χαμένα)· ἐν Ὀδσ. παντοῦ, ἐπαίτης, προσαίτης (ζήτουλας, ζητιάνος, ζητιάρης)· ἐν Ἰλδ. δὲ οὐχ εὕρηται· πλὴν οὐ ἐκλείπει παρ᾽ Ἡρόδ. 3, 52. ~~β~~ίος ἀλήτης (ζωὴ πλανημένη, μὲ χωρὶς κατάστασιν, ὅταν ζῇ τις τρέχων ἀπὸ ἕνα τόπον εἰς ἄλλον χωρὶς νὰ κατασταθῇ εἰς κανένα μέρος)· Θηλκ. Ἀλῆτις, ιδος, ἡ· ἐξαιρ. ὡς Ἐπιθτ. ἡ ἀλῆτις ἑορτή, ἡμέρα. Ἑορτή τις ἐν Ἀθήναις εἰς τιμὴν τῆς Ἠριγόνης, Θυγατρὸς τοῦ Αἰγίσθου, ἄλλως καὶ αἰώρα λεγομένη Ἡσχ. καὶ Ἐτυμλ. παρὰ Πλδχ. εἰ, Δ΄. 45. Ἀλ. ᾠδή, καὶ ὕμνος τις εἰς τιμ. τῶν Ἡρώων.

Ἀλητοειδής, ὁ, ἡ· (εἶδος) τὸ εἶδος, ἢ χρῶμα ἀλεύρου ἔχων· ἀλευροειδής· (ὅμοιος μὲ ἀλεύρι, 'σὰν ἀλεύρι), ἀπὸ τοῦ:

Ἄλητον, τό· (ἀλέω) ἀληλεσμένον ἄλευρον· (ἀλεσμένον ἀλεύρι, ἄλεσμα).

Ἀλητύς, ύος, ἡ· Ἰων. ἀντὶ τοῦ ἄλη· Ἡλημ. Αφρ. 277.

Ἀλθαία, ἡ· ἀγρία μαλάχη· (ἀγριομόλοχα)· 2) ὄνμ. κύρ. ἐν Ἰλδ.

Ἀλθαίνω, ἀλθέω, ἀλθέσω, ἀλθήσκω, ἀλθίσκω, ἰδὲ ἄλθω· Ἰῶμαι (ἰατρεύω) Λυκφ. 532. κακὸν μίασμα, ἐμφύλιον ἀλθαίνων κακῷ· παραπλήσιον τῷ τῆς κοινῆς παρ᾽ ἡμῖν παροιμίας κάθε κακὸν ἐξωχεῖται μὲ ἄλλον κακόν.

Ἄλθεξις, εως, ἡ· Ἴασις, θεραπεία (ἰατρεία, ἰάτρευμα)· ἀπὸ τοῦ:

Ἀλθέσκω = ἄλθω· Ἰῶμαι (ἰατρεύω).

Ἀλθεστήριος, ὁ, ἡ· = ἀλθηστήριος· ἀμφβ.

Ἀλθεύς, εως, ὁ· Ἰώμενος, Ἰατρὸς (Ἰατρευτής, Ἰατρός).

Ἀλθέω = ἀλθαίνω.

Ἀλθήεις, εσσα, εν· Ἰατικός, ἰατήριος (ἁρμόδιος εἰς ἰάτρευμα, ἰατρευτικός· ὅστις ἔχει δύναμιν, εἶναι ἐπιτήδειος νὰ ἰατρεύῃ).

Ἀλθήσκω = ἀλθαίνω.

Ἀλθηστήριος, ὁ, ἡ· Ἰατικός, ὑγιαστικός· (καλός, ἐπιτήδειος νὰ ἰατρεύῃ)· ἀλθηστήρια, ὑπακμ. φάρμακα (ἰατρικά, καλὰ διὰ ἰατρεία)· Νκδ. Θηρ. 493.

Ἄλθος, εος, τό· Ἴασις, φάρμακον (ἰάτρευμα, Ἰατρικόν).

Ἄλθω, ἄλσω· αὐξάνω, αὔξω (μεταβτ.) πληρῶ, ἐμπίπλημι· Ἰῶμαι, ὑγιοποιῶ, θεραπεύω, ὑγιᾶ ποιῶ, σώζω· (κάμνω τι νὰ αὐξήσῃ, γὰ θρέψῃ, μεγαλώσῃ· γεμίζω· Ἰατρεύω, κάμνω νὰ γιατρευθῇ, γερέψῃ, γλυτώσῃ ἀπὸ τὴν ἀρρωστίαν)· ὁ ἐνστ. ἐνεργτ. τε καὶ παθτκ. ἄνευ παραδείγματος· Παρατκ. παθτκ. ἤλθετο χεῖρα· (ἰατρεύθηκε τὸ χέρι)· Ἰλδ. Ε΄. 417. ἄλλοι τύποι αὐτοῦ εἰσὶ τό: ἀλθαίνω, ἀλθέω, ἀλθέσκω, ἀλθήσκω, ἀλθίσκω, πάντες μέντοι σπανίως ἐν χρήσει.

Ἁλία, ἡ· Ἰων. ἁλίη (ἀλής) συνάθροισις, σύνοδος, συνέλευσις (σύναξις) Ἐκκλησία, ἀγορὰ (κοινὴ σύναξις, σύναξις τοῦ λαοῦ) π. χ. τῶν Μιλησίων· ὁ Ἡρόδ. ἐπιφέρει τῇ λέξει τό, ποιεῖσθαι καὶ συλλέγειν· ἁλίην ποιεῖσθαι, ἁλ. συλλέγειν (γίνεται σύναξις). Ἐξαιρέτως τὸ τῶν Βυζαντίων βουλευτικόν· Δμσθ. ὅθεν οὐ Ἡλιαία, τὸ ἐν Ἀθήναις δικαστήριον: ἐν γένει δὲ, παρὰ Δωριεῦσι = τῷ παρ᾽ Ἀθ. Ἐκκλησία· Δωρ. Χαρ. σλ. 242. (– ᴗ – ;)

Ἁλιά, ἡ· (ἅλς) ἁλοδοχεῖον· (ἁλατιέρα) παλαιὰν τρυπῶσα παροιμ. τὴν ἁλιὰν ἐνόξει ξέων· (ξύει τὸ ἁλατιέρο μὲ τὰ νύχια) ἐπὶ ἐνδεῶν λεγομένη· (τόσον πτωχὸς δηλ. ὥστε οὐδὲ ἅλας ἔχει) Καλλ. παρ᾽ Ἀπολλ. Τυαν. Ἐπστ. Ζ.

Ἁλιάδαι, ῶν, οἱ· (ἅλς) ναῦται, ναυβάται, ναυτίλοι· (θαλασσινοί, ἄνθρωποι τῆς θαλάσσης, ταξιδιῶται, ὅσοι ταξιδεύουν εἰς τὴν θάλασσαν)· Σοφ. Αἰ. 879.

Ἁλιάετος, ποιητ. ἁλιαίετος, ὁ· (ἅλς, ἀετός) ἀετὸς θαλάσσιος (Θαλασσαιτός) (ᴗᴗ – ᴗᴗ).

Ἁλιαής, ὁ, ἡ· (ἄημι) ἐπὶ θάλασσαν πνέων, ἀπὸ τῆς ξηρᾶς κατὰ θάλασσαν πνέων (ὅστις φυσᾷ εἰς τὴν θάλασσαν, ὅστις φυσᾷ ἀπὸ τὸ μέρος τῆς στερεᾶς πρὸς τὴν θάλασσαν) ἅπαξ μόνον ἐν Ὀδσ. Δ΄. 361. παράβαλε καὶ Ι. 285.

Ἁλιάκμων, ονος, ὁ· ποταμὸς ἐν Μακεδ. (νῦν ἰνδζέκαρασου ἢ τρνβ. καλούμενος)· Ἡσδ. Θγν. 341.

Ἁλιανθής, ὁ, ἡ· (ἄνθος) κυρίως τὸ ἀνθηρὸν αὐτοῦ χρῶμα ἐκ τῆς θαλάσσης ἔχων· (ὅστις ἔχει τὴν ζωηρὰν βαφήν του ἀπὸ τὴν θάλασσαν): παραπλη. τῷ ἁλιπόρφυρος, πορφυροῦν, γνήσιον χρῶμα ἔχων (βαθὺ κόκκινον, 'σὰν τὸ αἷμα) Ὀρφ. Ἀργ. 586.

Ἁλιαρός, ὁ, ἡ· (ἅλς) ἅλατι ἠρτυμένος· ἁλιστός (ἁλατισμένος, ἁλατιστός).

Ἁλίαρτος, ου, ἡ· ἔτι δὲ καὶ ὁ· Πόλις ἐν Βοιωτίᾳ (νῦν Παλαιοπαναγιὰ ἢ Τριβίσι) Ἰλδ.

Ἁλιάς, άδος, ἡ· (ἅλς) τῇ θαλάσσῃ ἀνήκουσα (Θαλασσινική)· ἡ ἁλιάς, ὑπακμ. κύμβα ἁλιέων ἢ ἁλιευτικὴ σκάφη (βάρκα Ἰταλστ. καὶ τουρκοβαρβστ. καΐκι ψαράδικον) Ἀλκφ. Α΄. Ἐπστλ. ιβ΄. αἱ Ἁλιάδες· Θαλάσσιαι νύμφαι· (ξωτικαὶ ἀπὸ τὴν θάλασσαν).

Ἀλίασμα, τος, τό· Δωρ. ψήφισμα τῆς ἐκκλησίας (ἀπόφασις, καὶ ἰταλ. δεκρέτον, τῆς συνάξεως τοῦ λαοῦ)· Ἐπιγρ.

Ἀλίαστος, ὁ, ἡ· (λιάζομαι) ἀδιάτρεπτος, ἀμετάτρεπτος, ἀνένδοτος, ἄληκτος, ἀμείλικτος, ἀκατάσχετος, ἀδιάδραστος (τὸν ὁποῖον δὲν εἶναι δυνατὸν νὰ μεταβάλῃ, νὰ κάμῃ ἀλλέως, νὰ ἀποφύγῃ, νὰ κρατήσῃ ὀπίσω, νὰ ἐμποδίσῃ τις, ὅστις δὲν στέκεται, δὲν παύει) παλ. μάχη, πόλεμος, ὅμαδος, γόος, Ἰλδ. ἀλίαστον ὀδύρεσθαι· ἀπαύστως ὀδύρεσθαι, θρῆνον ποιεῖσθαι, ζωντελογεῖσθαι (νὰ κλαίῃ, θρηνῇ, παρακαλῆται ἀκατάπαυστα) Ἰλδ. Ω΄. 549. Β. 797. Μ. 471. Π. 296. παρβλ. Ετμ. Αἴ. 1. σελ. 74· ἐν Ὀδσ. δὲ οὐδαμοῦ εὕρηται· ἔστι δὲ ἡ λέξις παρὰ Ποιητ. μόνον ἐν χρήσει.

Ἀλιβάνωτος, ὁ, ἡ· (λιβανωτός) ἄνευ λιβανωτοῦ, μὴ λιβανωτιζόμενος, μὴ λιβανωτισθείς (χωρὶς θυμίαμα, ὅστις δὲν θυμιατίζεται, δὲν θυμιατίσθηκεν, ἀθυμιάτιστος).

Ἁλίβαπτος, ὁ, ἡ· (βάπτω) ἐν θαλάσσῃ βαπτόμενος ἢ βαπτιζόμενος, βαπτισθείς, καταδυόμενος, καταδυθείς (βουτισμένος εἰς τὴν θάλασσαν, ὅστις βουτίζεται, ἢ ἐβουτίσθηκεν· ἐπνίχθηκε, κατεβυθίσθηκεν εἰς τὴν θάλασσαν)· (ᴗᴗ – ᴗ, παρὰ Νκ. Ἀλ. δέ, 618, καὶ ᴗ – – ᴗ).

Ἀλίβας, αντος, ὁ· (λίβας) ἄχυλος, ἄχυμος. ζωτικῆς τροφῆς ἐστερημένος, μαραινόμενος, ἀπομαραινόμενος, νεκρός· (χωρὶς χυμόν, χωρὶς ὑγρασίαν, χωρὶς οὐσίαν ζωῆς, μαραμένος, πεθαμένος, λιγωμένος) Πλτ. Πολ. Γ΄. σλ. 387. C. ἀντιθ. τῷ διερός: ὅθεν οἱ ἀλίβαντες = νεκροί: ἀλίβας οἶνος· Καλλμ. Αψ. 88. ὑπὸ Bentl. ὁ ἐν σπονδαῖς μὴ λειβόμενος, ὅτε τροπίας ἐστί, (χαλασμένον, κομμένον, ξυνὸν κρασί)· (– ᴗ –).

Ἀλίβατος, ὁ, ἡ· Δωρ. ἀντὶ ἠλίβατος· Πνδ. καὶ Εὐρπ. Ἱπ. 91.

Ἀλιβδύω· Μλ. ύσω· Αἰολ. ἀντὶ ἀλιδύω· καθίημι ἐν θαλάσσῃ, καταποντίζω, βυθίζω, εἰς τὴν θάλασσαν)· ἐν γένει δὲ καταδύομαι, ἢ καταδύω (καταβυθίζω, βουλιάζω, ἢ βουλιάζω).

Ἁλίβρεκτος, ὁ, ἡ· (βρέχω) βεβρεγμένος, ἢ βρεχθεὶς ὑπὸ τῆς θαλάσσης· (Θαλασσοβρεγμένος, ὅστις βρέχεται ἢ νοτίζεται, ἐβράχηκεν ἀπό, ἢ εἰς τὴν θάλασσαν).

Ἁλίβρομος, ὁ, ἡ· (βρέμω) ὑπὸ τῆς θαλάσσης περιβρεμόμενος (ὅστις κυκλώνεται ἀπὸ τὸν ἦχον τῆς θαλάσσης)· ὥσπερ θάλασσα βρέμων, ἠχῶν, ῥοθῶν (ὅστις ἠχεῖ, βοΐζει, κάμνει κρότον 'σὰν θάλασσα) Σχλ. Σοφ. Αἰ. 604.

Ἁλίβροχος, ὁ, ἡ· = ἁλίβρεκτος· Ἀπολλ. Ῥδ.

Ἁλίβρως, ωτος, ὁ, ἡ· = ἁλίβρωτος.

Ἁλίβρωτος, ὁ, ἡ· (βιβρώσκω) ὑπὸ τῆς θαλάττης καταβρωθείς, περιβρωθεὶς ἢ περιτρωγόμενος, καταποθείς· (ὅστις ἐρρουφήθη ἀπὸ τὴν θάλατταν, τὸν ὁποῖον τρώγει ὀλόγυρα, τὸν ὁποῖον κατάπιεν ἡ θάλαττα) Λυκφ. 443.

Ἁλίγδουπος, ὁ, ἡ· ποιητ. ἀντὶ ἁλίδουπος.

Ἁλιγείτων, ὁ, ἡ· γενικ. ονος· (γείτων) τῇ θαλάττῃ γειτνιῶν (ὅστις γειτονεύει μὲ τὴν θάλατταν, εἶναι κοντὰ ᾽ς τὴν θάλατταν) Ἐπιγρ. Ὀμρ. 4.

Ἁλιγενής, ὁ, ἡ· (γένος) ἐκ τῆς θαλάττης φυόμενος, ἢ φύς, βλαστάνων, ἢ βλαστήσας, ἢ γεννηθείς (ὅστις ἐφύτρωσεν, ἢ φυτρώνει, γεννᾶται, ἢ ἐγεννήθη ἀπὸ τὴν θάλατταν).

Ἁλίγκιος, ία, ιον· (ἧλιξ) ὅμοιος, παραπλήσιος τινι· (ὅμοιος μέ τινα) Ὁμ. ὅτε δὲ ἐν χρήσει μᾶλλον συνθέτως ἐναλίγκιος· τὸ Θηλ. παρὰ τοῖς μεταγενεστ. ἐν χρήσει.

Ἁλίγλωττος, ὁ, ἡ· ἡλικίας φωνῆς ἢ λαλιᾶς ἐστερημένος (ὅστις δὲν ἔχει γλῶσσαν ἐν φωνῇ ἢ ὁμιλίᾳ)· Στρ. Μ. Ϛ. 57. ποῦ ἀλίγλωττος, ἀντὶ λιγύγλωττος, εὔφωνος (γλυκὺς ᾽ς τὴν ὁμιλίαν).

Ἁλιδινής, ὁ, ἡ· (δίνη) ὑπὸ τῆς θαλάττης περιδινούμενος (τὸν ὁποῖον κάμνει ἡ θάλαττα νὰ στριφογυρίζῃ) κατὰ θάλατταν περιπλανώμενος (ὅστις περιπλανᾶται περιφέρεται, τρέχει ἐδῶ καὶ ἐκεῖ εἰς τὴν θάλατταν) Ἀντ. Πργτ. 928.

Ἁλίδονος, ὁ, ἡ· (δονέω) ὑπὸ τῆς θαλάττης ἢ ἐπὶ τὴν θάλατταν περιδονούμενος (ὅστις κλονίζεται ἐδῶ καὶ ἐκεῖ ἀπὸ τὴν θάλατταν, ἢ εἰς τὴν θάλατταν)· Αἰσχλ. Πρ. 274.

Ἁλίδουπος, ὁ, ἡ· (δοῦπος) θαλάττης δίκην βρέμων, δουπῶν (ὅστις βοίζει κάμνει κρότον ᾽σὰν θάλαττα) Ἐπθτ. τοῦ Ποσειδῶνος· ἰδὲ ἁλίβρομος· Ὀρφ. Ὑμ. Ποσ. 4.

Ἁλίδρομος, ὁ, ἡ· (δραμεῖν) τὰς θαλάττας δρόμῳ διερχόμενος, διαπλέων· (ὅστις τρέχει εἰς τὴν θάλατταν, ταξιδεύει).

Ἁλιδύω, Μλ. ύσω· (ἅλς, δύω)· καθίημι, βυθίζω εἰς τὴν θάλατταν (βουτίζω ἢ βουτῶ τι εἰς τὴν θάλατταν) ἐν γένει δὲ καταβυθίζω, καταποντίζω (ἐν τῷ Ἐνεστ. ◡◡◡–, ἐν τῷ Μέλ. ◡◡––).

Ἁλιεία, ἡ· (ἁλιεύς) ἡ ἁλιευτική, ἀσπαλιεία· (ἡ ψαράδικη τέχνη),

Ἁλιεργής, ὁ, ἡ· (ἔργον) ἐν θαλάττῃ ἐργαζόμενος· ἀσπαλιευόμενος, ἁλιεύων (ὅστις δουλεύει εἰς τὴν θάλατταν, ψαρεύει, ψαρᾶς)· 2) ἁλιεργὴς καὶ κρτ. ἁλουργής· ἐκ γνησίας πορφύρας κατεσκευασμένος (ἀπὸ ἀληθινὴν πορφύραν καμωμένος, βαμμένος).

Ἁλιεργός, ὁ, ἡ· = ἁλιεργής.

Ἁλιερκής, ὁ, ἡ· (ἕρκος) ὑπὸ τῆς θαλάττης περικυκλούμενος, περιφραττόμενος, περιεχόμενος, ὠχυρωμένος (περικυκλωμένος, περιτριγυρισμένος, φυλαγμένος ὁλόγυρα ἀπὸ τὴν θάλασσαν) Πνδ.

Ἁλίευμα, ατος, τό· (ἁλιεύω) = ἁλιεία ὡς πρᾶγμα (ψάρευμα, τὸ πιάσιμον ψαριῶν, τὰ πιασμένα ψάρια) Στρβ.

Ἁλιεύς, έως, Ἰων. ῆος, ὁ· (ἅλς) ἁλιευτής, ἀσπαλιεύς, γριπεύς, ἰχθυοθήρας (ψαρᾶς) Ὀδσ. Μ. 251. Χ. 384. 2) Θαλαττουργός, ναυτίλος· ναύτης, ναυάτης, πορθμεύς· (ταξιδιώτης, μαρινάρος, βαρκαρόλος Ἰταλτ.) Ὀδσ. Ω. 418: ὡς ἐπίθτ. φέρ. τας ἁλιῆας, κωπηλάτας ἐν θαλάττῃ· Ὀδσ. Π. 349. ὥσπερ ἁλιεὺς στρατός, τὸ κατὰ θάλατταν στρατιωτικὸν (μαρίνα Ἰταλτ. marine γαλλτ.) Ὀππ. τῇ συνήθ. γενικ. ἁλιῶς χρῆται ὁ ἀφηγητ.· ΑΒ. Ϛ. σλ. 383.

Ἁλιευτής· = ἁλιεύς.

Ἁλιευτικός, ή, όν· τῇ ἁλιείᾳ ἢ τῷ ἁλιεῖ ἀνήκων ἢ ἁρμόδιος (ψαράδικος)· Ἐπίρ. ἁλιευτικῶς· ἁλιέων δίκην (σὰν ψαράδες, ψαράδικα).

Ἁλιεύω, Μλ. εύσω· (ἅλς) ἀσπαλιεύομαι, (ψαρεύω)· 2) ἁλιεύς εἰμί, μετέρχομαι τὴν ἁλιευτικήν (εἶμαι ψαρᾶς)· ζῶ ἐπὶ θάλατταν (περνῶ τὴν ζωήν μου ᾽ς τὴν θάλασσαν εἰς τὰ καράβια) ἔτι δὲ καὶ μέσ. ἁλιεύομαι.

Ἁλίζω, Μλ. ίσω· (ἀλής) συνάγω, συλλέγω, συναθροίζω, συσσωρεύω (συνάζω, συμμαζώνω, σωριάνω ἕν ἐπάνω τ᾽ ἄλλο) πολλάκις παρ᾽ Ἡρδτ. Παθητ. ἁλίζομαι· συναθροίζομαι, συνάγομαι (συμμαζώνομαι, συνάζομαι) Ἡρδτ. 1, 63, 79. 7, 172, 203. ἔτι δὲ καὶ Ξεν. Ἀνβ. 6, 3, 3. (τὸ α πιθανῶς μακρόν, ἰδὲ συναλίζω).

Ἁλίζω· Μλ. ίσω· (ἅλς) ἅλατι ἀρτύω (ἁλατίζω), 2) ἅλατι τρέφω, ἅλας λείχειν παρέχω (θρέφω μὲ ἅλας, δίδω ἅλας νὰ γλείφουν· π. χ. πρόβατα, βόδια· κ. τ. τ.)

Ἁλίζωνος, ὁ, ἡ· (ζώνη) θαλάττῃ περιεζωσμένος, περιειλημμένος (περιζωσμένος, περιτριγυρισμένος ἀπὸ τὴν θάλατταν)· 2) Ἀλίζωνοι, καὶ Ἀλιζῶνες, οἱ· Ποντικόν τι ἔθνος· Ἰλδ.

Ἁλίζωος, ὁ, ἡ· (ζωή) ἐν θαλάττῃ, ἐπὶ τὴν θάλατταν, ἀπὸ τῆς θαλάττης ζῶν· (ὅστις ζῇ μέσα, ἢ ἐπάνω ᾽ς τὴν θάλατταν, ἢ ἀπὸ τὴν θάλατταν) Ἀνθλγ. Α΄. σλ. 243. Ἀθν. Ζ΄. σλδ. 322.

Ἁλίη, ἡ· Ἰων. ἀντὶ ἁλία.

Ἁλιήρης, ὁ, ἡ· (ἐρέσσω) ἐν θαλάττῃ κωπηλατῶν (ὅστις τραβᾷ τὸ κουπί, λάμνει, ᾽ς τὴν θάλατταν) Εὐρπ. Ἑκ. 455.

Ἁλιήτωρ, ορος, ὁ, ποιητ. ἀντὶ ἁλιεύς· Ἐπγ. Ὁμρ. Ἀνλκ. Γ΄. 148.

Ἁλιηχής, ὁ, ἡ· (ἦχος) = ἁλίβρομος.

Ἁλιθέρσης, ου, ὁ· Ὀνμ. κύρ. ἐν Ὀδσ.

Ἁλίθιος· Δωρτ. ἀντὶ ἠλίθιος.

Ἄλιθος, ὁ, ἡ· (λίθος) ἄνευ λίθων, μὴ λίθινος, μὴ λιθαῖος, μὴ πετραῖος, (χωρὶς πέτρας· ὄχι ἀπὸ πέτραν· ὄχι πετρένιος).

Ἁλικία, ἡ· Δωρτ. ἀντὶ Ἡλικία.

Ἁλικίς, ίδος, ἡ· (ἅλς) ἁλμυρότης, ἁλμυρίς (ὑποκορ.) (ἁρμύρα, ἁρμυρίλα).

Ἁλίκλυστος, ὁ, ἡ· (κλύζω) ὑπὸ τῆς θαλάττης κατακλυζόμενος, περικλυζόμενος, προσκλυζόμενος (ὅστις πλημμυρίζεται, ἀπὸ τὴν θάλατταν, ἢ βρέχεται ὁλόγυρα, ἢ χτυπιέται ἀπὸ τὰ κύματα τῆς θαλάττης)· 2) ἁλικ. πόντος· ἡ κύμασιν οἰδουμένη θάλαττα (θάλατ. ὅπου φουσκώνει μὲ κύματα, κάμνει μεγάλα κύματα)· Σφκ. Αἰ. 1236. Ὀρφ. Ἀργ. 331.

Ἁλίκμητος, ὁ, ἡ· (κάμνω) ὑπὸ τῆς θαλάσσης ἀποκάμνων, ἢ ἀποκεκμηκώς· καταπονούμενος, ἢ καταπονηθείς (ὅστις ἀποκάμνει, κουράζεται, ἢ ἀποσταίνεται, ἀπέκαμεν, ἐκουράσθηκεν, ἢ ἀπέσταινεν ἀπὸ τὴν θάλατταν) Παύλ. Σιληντρ.

Ἁλίκος, ία, ίκον· Δωρτ. ἀντὶ ἡλίκος.

Ἁλικός, ή, όν· (ἅλς) ἁλμυρός, ἁλμήεις, (ἁρμυρός)· 2) τῇ θαλάττῃ ἀνήκων, θαλάττιος· ἐκ τῆς θαλάττης (θαλάττιος, θαλασσινός, ἀπὸ τὴν θάλατταν)· ἀφ᾽ οὗ

Ἁλικότης, ητος, ἡ· = ἁλικίς.

Ἁλίκρας, ατος, ὁ, ἡ· (κεράννυμι) θαλαττίῳ ὕδατι, ἢ ἅλμῃ κεκραμένος (ἀνακατωμένος μὲ θαλαττονέρι, ἢ μὲ ἁρμύραν) (◡◡–, γενικ. ◡◡–◡, Δρία.)

Ἁλικρείων, οντος, ὁ, (κρέων, κρείων) Θαλαττοκράτωρ· (βασιλέας, ἢ ἐξουσιαστὴς τῆς θαλάττας).

Ἁλικρήπις, (οὐχὶ δὲ ἁλικρηπίς), ιδος, ὁ, ἡ· (κρηπίς) ἐν θαλάττῃ, ἢ ἐπὶ τὴν θάλατταν τεθεμελιωμένος, τῇ θαλάττῃ προκείμενος· (εἰς τὴν θάλατταν, ἢ ἐπάνω εἰς τὴν θάλατταν θεμελιωμένος, καὶ ὅστις εἶναι κοντὰ ᾽ς τὴν θάλατταν) Νον.

Ἁλικρόκαλος, ὁ, ἡ· (κροκάλη) πλήρης θαλαττίων χαλίκων, ἢ λεπτομεροῦς θαλαττίου ψαμάθου (γεμάτος μὲ χαλίκια, πετροπούλας, στιλιάσια, ἢ μὲ χονδρὸν ἄμμον τῆς θαλάσσας) Ὀρφ. Ἀργ. σλ. 332.

Ἁλίκτυπος, ὁ, ἡ· (κτυπέω) ὑπὸ τῆς θαλάττης κτυπούμενος, περικυμαινόμενος, περικλυζόμενος, περιβρύχιος, περιβρεμόμενος· (ὅστις χτυπιέται, βρέχεται ὁλόγυρα ἀπὸ τὴν θάλατταν, ἀπὸ τὰ θαλαττινὰ κύματα, ἢ ἠχολογεῖ ἀπὸ τὸν χτύπον καὶ ἀπὸ τὸν κρότον τῶν θαλαττινῶν κυμάτων) ἐπὶ ἀκρωτηρίων, ἐπιθαλαττίων, (ὅσοι κατοικοῦν ᾽ς τὰ παραθαλάσσια, παραθαλαττίτες) καὶ πλοίων· 2) ἐνεργτ. ἐν θαλάττῃ, ἢ ἐπὶ θάλατταν θορυβῶν, ῥοχθῶν· (ὅστις κάμνει ἦχον, ῥοχάζει μέσα εἰς τὴν θάλατταν ἢ ἐπάνω ᾽ς τὴν θάλ.) καλ. κῦμα, ἁλ. ἀήτης· Σφκ. Ἀντ. 953. Εὐρ. Ἱππ. 754. Ἀνκρ. λγ΄. Εὐρ. Ὀρ. 375.

Ἁλικύμων, ὁ, ἡ· γεν. ονος· (κῦμα) ὑπὸ τῆς θαλάττης περικυμαινόμενος (ὅστις περικυκλώνεται, χτυπιέται ὁλόγυρα ἀπὸ τὰ θαλασσινὰ κύματα)· Ἀνλκ. β΄. σλ. 140. (◡◡––).

Ἁλικώδης, ὁ, ἡ· (εἶδος) συνηθέστ. ἁλυκώδης· ἁλατοειδής (σὰν ἅλας) Θεφρ. σ. Ἱστ. Θ΄. 12.

Ἁλιλάτ, ἀραβική λέξις· = Οὐρανία· Ἡρδτ. 3, 8.

Ἅλιμα, τά· ἰδὲ ἅλιμος.

Ἁλιμέδων, οντος, ὁ· (μέδων) Θαλαττοκράτωρ, ὡς ποντομέδων· = ἁλικρείων· ἐπίθ. τοῦ Ποσειδῶνος· (ἐξουσιαστὴς τῆς θαλάττας) Ἀριστφ. Θσμ. 323.

Ἁλιμενία, ἡ· ἔλλειψις λιμένος (ὅπου δὲν εἶναι λιμιωνάς, πόρτο Ἰταλτ.) ἀπὸ τοῦ:

Ἀλίμενος, ὁ, ἡ· (λιμήν) ἄνευ λιμένος· ἄνευ καταφυγίου· (χωρὶς λιμιωνα ἢ πόρτον· χωρὶς καταφύγιον)· (ᾶ). ἀφ᾽ οὗ:

Ἀλιμενότης, ἡ· = ἁλιμενία· Ξνφ. Ἑλλ. δ΄. 8, 7.

Ἀλιμένωτος, ὁ, ἡ· = ἀλίμενος.

Ἁλιμήδη, ἡ· Νηρηΐδος (Νηρεΐδας) ὄνομα· Ἡσδ. Θγν. 255.

Ἁλιμήδης, ὁ, ἡ· (μῆδος) περὶ τῆς θαλάσσης ἢ τῶν περὶ τὴν θάλατταν φροντίζων, ἐπιμελούμενος· τῇ θαλάττῃ ἢ τοῖς περὶ τὴν θάλ. προσέχων (ὅστις φροντίζει ἢ προσέχει διὰ τὴν θάλατταν, ἢ διὰ τὰ θαλασσινὰ πράγματα) ὡς τὸ ἁλιήτωρ Ἀντ. παρεμβ. 930.

Ἁλίμικτος, ὁ, ἡ· (μίγνυμι) ὡς τὸ ἁλίκρας.

Ἅλιμος, ὁ, ἡ· (ἅλς) ἁλμυρός, ἁλμήεις (ἁρμυρός)· 2) τῇ θαλάττῃ ἀνήκων (θαλάττινος, θαλαττίτικος)· 3) ὁ ἅλιμος καὶ τὸ ἅλιμον, θαμνοειδής τις ἀτράφαξις (εἶδος σπανακιοῦ ᾽σὰν χοιτζάλαθον)· τὰ ἅλιμα· ἁλμήεντι φυτὸν αὐτό τε καὶ ὁ καρπὸς αὐτοῦ· (δένδρον ἁρμυρὸν καὶ αὐτὸ καὶ ὁ καρπός του) παρὰ τοῖς Ο΄. (◡◡◡).

Ἄλιμος, ὁ, ἡ· (λιμός) ἄνευ πείνης, μὴ πεινῶν, κεκορεσμένος (χωρὶς πεῖναν, ὅστις δὲν πεινᾷ, χορτασμένος)· 2) ἐνεργ. τὴν πεῖναν ἀποβάλλων ἢ παύων, χορτάζων (ὅστις παύει τὴν πεῖναν, χορταστικός) Ἀθν. σλ. 58.

Ἁλιμυρήεις, εσσα, εν· (μύρω) ἐν θαλάσσῃ ῥέων, εἰς θάλατταν εἰσβάλλων (ὅστις τρέχει, χύνεται ᾽ς τὴν θάλασσαν) ποταμῶν ἁλιμυρηέντων· Ἰλδ. Φ. 190.

Ἁλιμυρής, ὁ, ἡ· = τῷ προηγουμένῳ· Ἀπλλ. Ῥδ. 2) = ἅλιος, ία, ιον· πέτρης ἁλιμυρέεσσι θαλαττίου, ὑπὸ τῶν ὑδάτων τῆς θαλάττης περιρρεομένης· Ὀππ. Ἁλ. β. 258.

Ἁλινδέω· Μλ. ήσω· ἄλλως δὲ καὶ ἀλίνδω, ὡς τὸ καλινδέω = κυλινδέω· κυλίω, κυλινδεῖσθαι ποιῶ· (κυλῶ, κάμνω νὰ κυλίεται) ἐξαιρέτως ἐπὶ ἵππων (ἀφίνω τὸ ἄλογον νὰ κυλισθῇ ᾽ς τὸν ἄμμον, ᾽ς τὸ νερὸν κ. τ. τ.) ἐνεργητικῶς δέ, πάντῃ ἄχρηστος ἔοικεν ἡ λέξις· Παθητ. ἀλινδεῖσθαι· Ἀττ. Ἡ ἀρχαία πρωτότυ-

πος ἀλίω, ἀλίζω διετηρήθη μόνον συνθέτως, ἐξαλῖσαι· Π. Μοιρ. σλ. 52. σπανία μένται ἡ χρῆσις αὐτῆς.

Ἁλινδέσεις, εως, ἡ· = ἀλίνδησις.

Ἀλινδήθρα, ἡ· τόπος εἰς κύλισιν ἐπιτήδειος· (τόπος διὰ κύλισμα, κυλίστρια) περὶ ἀθλητῶν τε καὶ περὶ ἵππων, ἄλλως δὲ κονίστρα. τροπ. ἀλινδήθρα ἐπῶν, λέξεις ἀθρόως καὶ σωρηδὸν, ἢ ἀσυντάκτως καὶ συγκεχυμένως ἐκφερόμεναι· τὸ παρ' ἡμῖν κοπρότερον, λόγια μὲ τὸν σωρὸν)· Ἀριστ. Βάτ. 955.

Ἀλίνδησις, εως, ἡ· κύλισις, κυλίνδησις ἐν κόνει ἢ ψάμμῳ (κύλισμα εἰς κονιορτὸν ἢ εἰς ἄμμον): πάλη χαμαὶ κειμένων τῶν παλαιστῶν· (πάλεμα 'ς τὰ πλαγιαστά) Ἱππ. Διαιτ. β'. 11. καὶ Ἐπιτ. 4.

Ἀλινδέω· = ἀλινδέω· Νικάνδ. Θηρ. 156.

Ἀλινέω καὶ ἀλίνω· κατὰ τοὺς Γραμματικούς. = ἀλείφω.

Ἀλινήκτης, ου, ὁ· Θηλ. ἀλινήκτειρα, ἡ (νήχω) ἐν θαλάσσῃ νηχόμενος (ὅστις κολυμβᾷ 'ς τὴν θάλασσαν (ἀλινήκτειρα, ∪ – – – ∪, Ἀνθ.)

Ἀλινηχής, ὁ, ἡ· = ἀλινήκτης.

Ἄλινος, ὁ, ἡ· (ἅλς) ἀλατοποίητος, ἐξ ἅλατος κατεσκευασμένος (μὲ ἅλας ἢ ἀπὸ ἅλας καμωμένος, φκιασμένος) Ἡρδ. 4, 185.

Ἄλινος, ὁ, ἡ· (λίνον) ἄνευ δικτύων, ἀμφιβλήστρων (χωρὶς δίχτυα, χωρὶς βρόχια) ἄλινος θήρα κυνηγέσιον ἄνευ δικτύων· (κυνήγι εἰς τὸ ὁποῖον δὲν μεταχειρίζονται βρόχια) Ἐπιγρ.

Ἆλιξ· Δωριστ. = ἧλιξ.

Ἀλίξαντος, ὁ, ἡ· (ξαίνω) ὑπὸ τῆς θαλάσσης ἀποπλυνόμενος, ἀποπλυζόμενος, αποπλυθεὶς, ἀποπλυσθεὶς (τὸν ὁποῖον ξεπλύνει ἢ ἐξέπλυνεν ἡ θάλασσα) ἰδὲ ξαίνω.

Ἅλιος, ὁ· Δωριστ. ἀντὶ ἥλιος.

Ἅλιος, ία, ιον· (ἅλς) Θαλάσσιος· τῇ θαλάσσῃ ἀνήκων, ἐν θαλάττῃ νεμόμενος, διαιτώμενος (Θαλασσινός, θαλασσινικὸς, θαλαττίτικος, ὅστις ἀνήκει, κατοικεῖ, ζῇ 'ς τὴν θάλασσαν) Θεαὶ, ἀθάνατοι, γέρων, κοῦραι, ψάμαθοι. ἀλ. Ὁμηρ. Ἅλιαι, αἱ Θεαὶ τῆς θαλάσσης αἱ Νηρηΐδες (Νεράϊδες) Ἰλιάδ. Σ, 432. ἰδὲ καὶ 86. 2) Ἅλιος, ὁ· ὄνομ. κύρ. Ὁμηρ. Ἁλία, ἡ· ὀνομάτιον τῶν Νηρηΐδων· Ἰλιάδ. Σ. 40. Ἡσιόδ. Θεογ. 245. 3) (ἄλη)· = μάταιος· ἀλυσιτελὴς, ἀνωφελὴς (ἄκαρπος, ἀνωφέλευτος) ἀλ. πόνος, ἔπος, μῦθος, βέλος, ἄκων, στρατός, ὁδός, ὅρκιον, σκοπός· Ὁμηρ. ὅστις χρῆται πολλάκις καὶ τῷ οὐδετέρῳ γέν. ἐπιρρηματικῶς· ὅθεν κενὸς, ἀξίτηλος, οὐδενὸς ἄξιος, ἐσφαλμένος, ἐψευσμένος· (ἄδειος, κανενὸς ἄξιος, σφαλμένος, ψεύτικος). Παρ' Ἀττ. ἐσθ' ὅτε ἀκατάληπτος. (Τινὲς δὲ παράγουσι τὴν λέξιν καὶ κατὰ τὴν τρίτην σημασίαν αὐτῆς ἀπὸ τοῦ ἅλς, διότι οἱ πάλαι τὴν ἀγχρημένως σημασίαν τῆς λέξεως Θάλασσα ὑπενόουν συγγενῆ τῇ τῆς μάταιος, ἀλυσιτελής). Ἐπίρρ. Ἁλίως· μάτην, εἰς μάτην, κενῶς, εἰκῇ, εἰς κενὸν (μάταια, 'ς τὰ χαμένα).

Ἁλιοτρεφής, ὁ, ἡ· (τρέφω) ἐν θαλάττῃ ἐκφὺς, αὐξηθεὶς, ἐκ τῆς θαλάσσης τρεφόμενος· (γεννημένος, τραφόμενος 'ς τὴν θάλασσαν, καὶ ὅστις θρέφεται ἀπὸ τὴν θάλασσαν) Ὀδυσ. Δ. 442.

Ἁλιόω· Μέλ. ώσω (ἅλιος) ματαιῶ, ἀλυσιτελὲς ποιῶ (ματαιώνω, κάμνω νὰ μὴν ἀξίζῃ νὰ μὴν ὠφελῇ τίποτε)· ἀλιῶ νόον τινός, τὴν γνώμην, τὸν σκοπὸν τινος· Ὀδ. Ε. 104. βέλος· Ἰλιάδ. Π. 737.

Ἀλιπαρής, ὁ, ἡ· (λιπαρής), μὴ οἰκείως ἔχων πρὸς δεόμενον, ἢ προσευχόμενον· τοῦτ' ἔστιν ἀξιωθεὶς ἢ κατὰ τὰ ἐκτὸς ἠμελημένος, ἀτημέλητος, ἀκαλλώπιστος, αὐχμηρὸς (ὅστις δὲν περιποιεῖται, ἢ εἶναι ἀνάρμοστος εἰς ἀνθρώπου ὁποῦ παρακαλεῖ ἢ προσεύχεται δηλ. ἄπαστρος, ἀστόλιστος, ῥυπαρὸς, λερωμένος)· οὕτως ἐθέλουσιν ἐξηγεῖν τὴν λέξιν ἐν μέσῳ τῷ χωρίῳ παρὰ Σοφ. Ἠλ. 451. ἔνθα κεῖται ὡς ἐπίθ. τοῦ Θρὶξ· ἀλλ' ἀπεδείχθη ὑπὸ τοῦ Schaef. mel. σλδ. 129. εὐλόγως ἀμφίβολος ἡ ἐξήγησις.

Ἀλίπαστος, ὁ, ἡ· (πάσσω) ἅλατι πεπασμένος· (μὲ ἅλας πασπαλωμένος ἢ πασπαλισμένος).

Ἁλίπεδον, τὸ (πεδίον) κυρίως πεδιὰς τῇ θαλάττῃ προσκειμένη, παραθαλάσσιον πεδίον· Λυκρ. 681. (κάμπος, ἰσιάδι κοντὰ 'ς τὴν θάλασσαν) ἐξαιρέτως δὲ ἡ ἐν Ἀθήναις τῷ λιμένι Πειραιεῖ προσκειμένη πεδιὰς γῆ· Ξενοφ. Ἑλλ. β'. 4. 21. ὅθεν ἐν γένει· 2) πᾶσα πεδιὰς, πᾶν ἰσόπεδον, μάλιστα ψαμμώδες, ἄλλοτε θαλάττῃ ὑποβρύχιον, πᾶσα παραθαλάσσιος ὁμαλὴ χώρα (κάθε κάμπος, Ἴσιωμα ἢ ἰσιάδι, μάλιστα ἀμμουδερὸν, τὸ ὁποῖον ἦταν προτήτερα σκεπασμένον ἀπὸ τὴν θάλασσαν· κάθε τόπος ἴσιος παραθαλασσινός)· ἔτι δὲ καὶ ἀλίσπεδον καὶ ἀλήπεδον· Βαρι. Γρηγ. σλ. 914. (∪ – ∪ ∪, Λυκρ. 681.)

Ἀλιπής, ὁ, ἡ· (λίπος) ἄνευ λίπους, ἰσχνὸς, λεπτὸς (μὲ χωρὶς πάχος, ἄπαχος, στεγνὸς) 2) ἄνευ ἐλαίου, ἄχριστος (χωρὶς λάδι, ἀλάδωτος, ὅστις δὲν ἀλείφεται ἢ δὲν ἀλείφθηκε μὲ λάδι).

Ἀλίπιστος, ὁ, ἡ· = ἀλιπής· Θεοφρ.

Ἀλίπλαγκτος, ὁ, ἡ· (πλάζω) ἐν θαλάσσαις περιπλανώμενος· ἐπὶ θάλατταν, ἢ ὑπὸ τῆς θαλάσσης περιαγόμενος, περιπλανώμενος, ἐν θαλάσσῃ περιπετόμενος, περικολυμβῶν, παρὰ τὴν θάλασσαν περιπλανώμενος· (ὅστις περιπλανᾶται εἰς τὴν θάλατταν, τὸν ὁποῖον σέρνει καὶ σπρώχνει ἡ θάλαττα ἐδῶ καὶ ἐκεῖ· ὅστις κολυμπᾷ ἢ πλέει παντοῦ 'ς τὴν θάλατταν· ὅστις περιφέρεται κοντὰ 'ς τὴν θάλατταν) π. χ. ὁ Πὰν ὡς Θεὸς τῶν παραλίων (ἀπὸ τὰ ἀκρογιάλια)· Σοφ. Αἴ. 695. 2) Ἐπὶ νήσων· ὑπὸ τῆς θαλάττης περικλυζομένη, περικυμαινομένη, ἢ ὑπὸ ναυτίλων περιπλεομένη (νησὶ τὸ ὁποῖον περιβρέχεται καὶ χτυπιέται ἀπὸ τὰ κύματα τῆς θαλ. ἢ τὸ ὁποῖον περιτριγυρίζουν μὲ τὸ καράβι οἱ ταξειδιῶται) Σοφ. Αἴ. 594. ὑπὸ Ἑρμ.

Ἀλίπλακτος, Δωριστ. ἀντὶ ἀλίπληκτος· Πινδ. Πυθ. 4, 14. ὑπὸ Boeckh.

Ἁλιπλανής, ὁ, ἡ· (πλάνη) ἐν θαλάσσῃ περιπλανώμενος (ὅστις περιφέρεται 'ς τὴν θάλ.) ἀφ' οὗ

Ἁλιπλανία, ἡ· κατὰ θάλασσαν πλάνη (περιπλάνημα 'ς τὴν θάλασσαν)· Ἐπιγρ.

Ἀλίπλανος, ὁ, ἡ, = ἀλιπλανής.

Ἁλιπλεύμων, ονος, ὁ· Θαλάττιος πνεύμων, Ἰχθύος τι εἶδος (θαλασσοπλεμόνι, εἶδος ψαριοῦ).

Ἀλίπληκτος, ὁ, ἡ, (πλήσσω) ὑπὸ τῶν κυμάτων τῆς θαλάσσης πληττόμενος, κυματούμενος· (τὸν ὁποῖον χτυποῦν τὰ κύματα τῆς θαλάσσης) ὡς τὸ Θαλασσόπληκτος.

Ἀλιπλήξ, ῆγος, ὁ, ἡ· = ἀλίπληκτος.

Ἀλίπλοος, ὁ, ἡ· συναιρτ. ἀλίπλους, ὁ, ἡ· τὸ ουν· (πλέω) ἐν θαλάσσῃ νηχόμενος, κολυμβῶν, βυθιζόμενος, καταποντιζόμενος· Ἰλιάδ. Μ. 26. Ἀνθ. γ'. σλδ. 327. Παρὰ τοῖς μεταγενεστ. δὲ τὴν θάλατταν διαπλέων, τὴν θάλατταν πλέων· (ὅστις κολυμβᾷ, καταβυθίζεται εἰς τὴν θάλ. ὅστις ταξειδεύει 'ς τὴν θάλασσαν). Ὡς ἐπίθ. ὁ ἀλίπλοος· ἁλιεὺς, ναύτης, ναυτίλος· (ψαρᾶς, μαρινέρος, ταξειδιώτης)· Ἀπολλ. Ἀργ. γ'. 1328. Καλλιμ. Δῆλ. 15.

Ἀλίπνοος, ὁ, ἡ· (πνέω) ἀπὸ τῆς θαλάσσης πνέων· (ὅστις φυσᾷ ἀπὸ τὸ μέρος τῆς θαλ.) 2) ὀσμὴν θαλάττης ἔχων· θαλάσσης ἀποπνέων· (ὅστις μυρίζει ἀπὸ θάλασσαν).

Ἁλιπόρος, ὁ, ἡ· (πείρω) τὴν θάλασσαν διατέμνων, διὰ τῆς θαλάσσης φερόμενος (ὅστις διαχωρίζει τὸ νερὸν τῆς θαλασ. τρέχει ἀνάμεσα 'ς τὰ νερὰ τῆς θαλ.)

Ἁλιπόρφυρος, ὁ, ἡ· (πορφύρα) θαλασσοπόρφυρος, καθαρᾷ πορφύρᾳ κεχρωματισμένος, ἢ πορφυρόβαπτος, ἁλουργής· (βαθὺ κόκκινος βαμμένος, θαλασσοκόκκινος· ὅστις ἔχει τὴν βαφὴν τῆς θαλάσσης) ἠλάκατα, φάρεα ἁλιπόρφ. Ὀδυσ. Ν. 108.

Ἁλιπτοίητος, ὁ, ἡ· (πτοιέω) ὑπὸ τοῦ ψόφου τῆς θαλάσσης ἐπτοημένος, ἐκπεπληγμένος, πτοούμενος ἢ ἐκπληττόμενος (ὅστις σκιάζεται, ξηπάζεται, ἐσκιάχθηκεν ξηπάσθηκεν ἀπὸ τὴν βοὴν τῆς θαλάσσας) Νον. Διον. 13, 119.

Ἁλιρραγής, ὁ, ἡ· (ῥήγνυμι) τὰ θαλάττια κύματα διαθραύων (ὅστις συντρίβει, κατασχίζει τὰ θαλασσινὰ κύματα)· σκόπελος ἁλιρ. Φιλ. Θεσσ. 67. σκόπελος ἐφ' οὗ προσβάλλοντα διαρρήγνυνται τὰ κύματα· (βράχος εἰς τὸν ὁποῖον χτυποῦν καὶ κατακομματίζονται τὰ κύματα).

Ἁλιρραίστης, ὁ· (ῥαίω) ἄγριος, ἁρπαλέος δράκων θαλάττιος (ἁρπακτικὸς θαλασσινὸς δράκοντας) Νικ. Θηρ. 822.

Ἁλίρραντος, ὁ, ἡ· (ῥαίνω) ὑπὸ τῆς θαλάσσης βρεχόμενος, ὑγραινόμενος, βραχεὶς, ἢ ὑγρανθεὶς (ὅστις βρέχεται ἢ νοτίζεται, ἐβράχηκεν ἢ ἐνοτίσθηκεν ἀπὸ τὴν θάλατταν)· Ἐπιγρ.

Ἁλίρρηκτος, ὁ, ἡ· = ἁλιρραγής.

Ἁλιρροθία, ἡ· καὶ

Ἁλιρρόθιον, τό· ῥόθος, ῥόχθος τῆς θαλάσσης (ἦχος, βοὴ, βάξιμον τῆς θαλάσσας) Διόδ. Σαρδ. Ἐπιγ. 15.

Ἁλιρρόθιος, ὁ, ἡ· καὶ ἁλίρροθος, ὁ, ἡ· (ῥόθος) ὡς θάλασσα ῥοχθίζων, θαλαττίοις κύμασι θορυβῶν, θαλάσσης δίκην σμαραγῶν, ἢ καὶ ὑπὸ τῆς θαλάττης περιβρέμων· (ὅστις βογκάζει, ἠχολογεῖ σὰν ἡ θάλασσα, βάζει, βροντολογεῖ ἀπὸ τὰ θαλασσινὰ κύματα)· Ὀρφ. Ἀργ. 1285. Ἀνάλκ. β'. 24. ἁλιρ. πόρος· Σοφ. παράβαλε ἀλίκλυστος καὶ ἀλίκτυπος.

Ἁλίρροθος, ὁ, ἡ· = ἁλιρρόθιος.

Ἁλίρροος, ὁ, ἡ· συναιρτ. ἁλίρρους, ὁ, ἡ· ουν, τό· (ῥέω) ἐν θαλάσσῃ ἢ ἐπὶ τὴν θάλασσαν ῥέων, εἰς τὴν θάλατταν εἰσβάλλων· (ὅστις τρέχει, χύνεται 'ς τὴν θάλατταν, ὅστις ξεστομίζει 'ς τὴν θαλ.): ὑπὸ τῆς θαλάττης περιρρεόμενος (ὁλόγυρα εἰς τὸν ὁποῖον τρέχει ἡ θάλαττα).

Ἁλίρρυτος, ὁ, ἡ· (ῥέω) ὑπὸ τῆς θαλάσσης περικλυζόμενος, περιρρεόμενος (ὅστις βρέχεται ὁλόγυρα, περικυκλώνεται ἀπὸ θάλασσαν); ἁλίρρυτον ἄλσος· ἡ θάλασσα αὐτή· Αἰσχλ. Ἱκετ. 881.

Ἅλις· Ἐπίρρημα· (ἁλής) σωρηδὸν, ἀθρόως, συχνῶς, θαμὰ, θαμίνως, ἀγεληδὸν, ἀφθόνως, ἀφειδῶς (μὲ τὸν σωρὸν, σωρωμένα, συχνὰ, πυκνὰ, σὰν κοπάδι, παραπολὺ, μὲ τὸ παραπάνω, ἀμέτρητα, πλῆθος μαζὺ)· μάλισσαι ἅλις πεποτήαται· Τρωαὶ ἅλις ἦσαν· δένδρεα ἅλις πεφύκασι· χρήματα ἅλις δώομεν, κόπρος ἅλις κέχυτο· ἅλις ἔσταν ἀμφ' αὐτήν· Ὁμ. ἄνευ διαφορᾶς τῆς πτώσεως τοῦ οὐσιαστικοῦ· 2) ἱκανῶς, ἀρκούντως, ἐξαρκούντως, ἐπαρκούντως, ἀποχρώντως· (ἱκανὰ, ἀρκετὰ)· ἅλις ἄρουραι· ἅλις χαλκόν χρυσόν τε δέδεξο· ἅλις ἔλαιον· Ὁμ. Ἔτι δὲ καὶ μετὰ ῥημάτων· ἅλις νηυσὶ ἄσθω· φορτιζέτω ἀποχρώντως (ἂς φορτώσῃ τὸ καράβι ἀρκετὰ) Ἰλιάδ. οὐχ ἅλις, ὅτι —; (δὲν εἶναι ἀρκετὸν, δὲν φθάνει ὅτι —;) Ἰλιάδ. ὡσαύτως καὶ, οὐχ ἅλις, ὡς — Ὀδυσ. Β. 312. οἱ μεταγενεστ. χρῶνται

τῷ προσκειμένῳ συστατικῷ πολλάκις κατὰ γεν. πτῶσιν· ὁ Ὅμηρος δὲ οὐδέποτε: εἰς ἅλις ἀρκούντως, ἀφθόνως (ἀρκετά, μὲ τὸ παραπάν) Θεοκρ. ἅλις εἰπεῖν· ἐνὶ λόγῳ (μ' ἕνα λόγον, μὲ μιᾶ) ἔτι δὲ καὶ μετὰ γενικ. ἅλις ἐστί μοί τινος· ἱκανόν, ἀρκοῦν, ἄφθονον ἔχω· πληθύω τινί, ἤ τινος· (ἔχω ἀρκετόν, μοὶ φθάνει) Ἡρδ. 9, 27. Εὐρπ. 248. (υυ).

Ἀλίς, ίδος, ἡ· (ἅλς) ἀλμυρότης (ἁρμυρίδα).

Ἄλισις, εως, ἡ· (ἀλίζω) ἀλισμός (ἀλάτισμα) ἀφηρμ. ὡς πρᾶξις.

Ἁλίσκομαι, παθτ. (τὸ ἐνεργητ. οὐκ ἔστιν ἐν χρήσει, ἀλλὰ τὸ αἱρέω ἀντ' αὐτοῦ) παρτττ. ἡλισκόμην· μελ. ἁλώσομαι, ἀόρττ. κατὰ συγκ. ἥλων· Ἡρδτ. 3, 15. Ξνφ. Ἀνάβ. 4, 4. 21. Παρὰ τοῖς Ἀττ. συνήθ. ἑάλων· Ἀπρμφ. ἁλῶναι· Μτχ. ἁλούς· Ὑπτατ. ἁλῶ· Ὅμ. δὲ, ἁλώω· Εὐκτ. ἁλοίην· Ὅμ. ἁλώην· Ἰλδ. Ι. 592. Πρκμ. ἥλωκα, ἑάλωκα· τῷ δευτέρῳ τύπῳ τούτῳ χρῆται ἀεὶ ὁ Θκδ. καὶ ὁ Δμσθ κατὰ παθτ. σημτ. ὁ Ὅμ. δὲ μόνον τῷ ἀορττ. Συλλαμβάνομαι, καταλαμβάνομαι, αἱροῦμαι, κρατοῦμαι, κατατρίβομαι, ὑπό τινος γίνομαι (πιάνομαι, πέρνομαι, μὲ προφθαίνουν καὶ μὲ πιάνουν, ἐξουσιάζομαι, κυριεύομαι) ἐπ' ἀνθρώπων καὶ πόλεων· Ὅμ. Ἡρδ. καὶ Α: ἁλίσκομαι εἰς πολεμίους· ἑκών, ἢ περιϊδὼν ζωγροῦμαι ὑπὸ τῶν πολεμίων (ἀφίνομαι θεληματικῶς ἢ παραβλέψα καὶ μὲ πιάνουν οἱ ἐχθροὶ σκλάβον)· Πλτ. Δημκ. 5. σλ. 468. A. ὑπὸ Stallb. β) Θανάτῳ ἁλῶναι· ἀναιροῦμαι, πίπτω ἐν μάχῃ (σκοτόνομαι, πέφτω 'ς τὸν πόλεμον) γ) καὶ τῆς λέξεως Θανάτῳ μὴ προσκειμένης· ἀναιροῦμαι, φονεύομαι, ἀποκτείνομαι, (μὲ σκοτόνουν) Ὅμ. 2) Παρὰ τοῖς Ἀττ. ἐπὶ τὸ πλεῖστον δικανικὴ λέξις· καταφωρῶμαι, κατηγοροῦμαι, αἰτιῶμαι, ἐγκαλοῦμαι, εἰς δικαστήριον ὑπάγομαι, δίκην φεύγω, δίκην ὑπέχω, ἐξελέγχομαι, ἀπελέγχομαι, καταγινώσκομαι, κατακρίνομαι, καταψηφίζομαι (μὲ πιάνουν ἐπάνω εἰς τὸ σφάλμα, μὲ ἐγκαλοῦν, μὲ σύρουν εἰς τὸ κριτήριον, μὲ κρίνουν, μὲ ἀποδείχνουν ἔνοχον, ὅτι ἔφταιξα, μὲ καταδικάζουν) ἀλλὰ καὶ παρ' Ἡρδ. 2, 174. 7, 102. σιωπώντως· ἐν γένει δὲ, νικῶμαι εἰς ἀγῶνα τινα, εἰς διαδικασίαν τινα (χάνω τὴν κρίσιν, ἢ τὸ προτσέσον)· μετὰ γεν. τοῦ πράγματος· ἁλίσκομαι παρανοίας, ἀσεβείας· κ.τ.τ. (καταδικάζομαι ἢ ἀποδείχνομαι ὅτι εἶμαι μωρός, παράφρων, ἀσεβὴς κ. τ. τ.) ἔτι δὲ καὶ μετὰ τοῦ ἐπί τινι· 3) κυριεύομαι ὑπ' ἔρωτος, ἐρωτεύομαι, μετὰ γεν. προσωπικοῦ σημ. τῆς λέξεως ἔρωτι· ἁλίσκομαι τῆς παιδίσκης (ἐρωτεύομαι 'ς τὴν καμαριέραν)· (ἡ μετχ. ἁλόντε, ἅπαξ μόνον, καὶ μακρῷ τῷ α, ἐν Ἰλδ. Κ. 487).

Ἄλισμα, τό· εἶδός τι φυτῶν ἐν ὕδασι φυόμενον· Διοσκρ. γ'. 169. Primula auricula, κατὰ τὸν Column.

Ἀλίσμηκτος, ὁ, ἡ· (σμήχω) ὑπὸ τῆς θαλάσσης κατακλυσθείς, κατακλυζόμενος (ὅστις πλημμυρίζεται σκεπάζεται, ἢ πλημμυρισμένος, σκεπασμένος ἀπὸ τὴν θάλατταν).

Ἀλισμός, ὁ· (ἀλίζω) = ἄλισις· ὡς πρᾶγμα.

Ἀλίσπαρτος, ὁ, ἡ· (σπείρω) ἅλατι ἐσπαρμένος, πεπασμένος (μὲ ἅλας σπαρμένος, πασπαλισμένος).

Ἀλίσπεδον, τό· ἰδὲ ἀλίπεδον· Πολδ.

Ἀλιστέφανος, ὁ, ἡ· (στέφανος) καὶ

Ἀλιστεφής, ὁ, ἡ· (στέφω) ὑπὸ τῆς θαλάσσης περιεστεμμένος, περικυκλούμενος (περιτριγυρισμένος ἀπὸ τὴν θάλασσαν)· Ὀππ.

Ἀλίστονος, ὁ, ἡ· (στένω) ὑπὸ τῆς θαλάσσης ἠχῶν Αἰσχλ. Πρμ. 718. (ὅστις βάζει, ἠχολογεῖ ἀπὸ τὴν θάλασσαν) παράβαλε ἀλίβρομος, ἀλίκτυπος.

Ἀλιστός, ή, όν· (ἀλίζω) ἅλατι ἠρτυμένος (ἀλατισμένος).

Ἄλιστος, ὁ, ἡ· (λίσσομαι) οὗ οὐκ ἐδεήθη· ὃν οὐκ ἐπεκαλέσατο, οὐχ ἱκέτευσέ τις· (τὸν ὁποῖον δὲν παρακάλεσε, τοῦ ὁποίου τὴν βοήθειαν δὲν ἐζήτησέ τις, ἀπαρακάλεστος).

Ἀλίστρα, ἡ· = ἀλινδήθρα.

Ἀλίστρεπτος, ὁ, ἡ· = τῷ ἑπομένῳ.

Ἀλιστρεφής, ὁ, ἡ· (στρέφω) ἐν θαλάσσῃ ἔνθεν κἀκεῖθεν στρεφόμενος, κυλινδούμενος, ἀναστρεφόμενος (ὅστις στρεφογυρίζεται, κυλίεται, ῥίχνεται ἐδῶ καὶ ἐκεῖ ἀπὸ τὴν θάλασσαν) Ἀνλ. β'. σλ. 205.

Ἀλίστροφος, ὁ, ἡ· = τῷ προηγουμένῳ.

Ἀλιταίνω, Μλ. ήσω· (ἄλη)· πλανῶμαι, ἁμαρτάνω, ἐξαμαρτάνω, πλημμελῶ, σφάλλομαι· ὁ Ὅμρ. χρῆται μόνον τῷ ἐνεργτ. ἀορττ ἤλιτον, Ἰλ. Ι. 375. καὶ πολλάκις τῷ μέσ. Ἀορττ. ἀλίτοντο, ἀλιτέσθαι μετὰ τῆς αἰτιατ. Θεοὺς ἀλιτέσθαι· εἰς τοὺς Θεοὺς ἁμαρτάνειν· ἐφετμὰς Διὸς ἀλιτέσθαι· εἰς τὴν Διὸς βούλησιν ἁμαρτάνειν· Ὅμρ. παράβαλ. Σφκ. Οἰδ. Κ. 364. ὑπὸ Doederl· μετ' ἀθανάτους ἀλιτεῖν, Ἡσδ. Ἀσ. 80. Παρὰ τοῖς μεταγενστ. δὲ καὶ δοτικῇ· Θεοῖς ἀλιτεῖν· παρβλ. ἀλιτήμενος· Ἐνεστ. ἀλείτω ἢ ἀλίτω, οὐδαμοῦ εὕρηται· παρ' Ἡσδ. Ἔρ. 332. κεῖται ἀλιταίνεσθαι· ἀλλὰ καὶ τὸ ἐνεργτ. ἀλιταίνω, ἄνευ τινὸς παραδείγματος, ὡς ἔοικε· (παράγεται δὲ ἀπὸ τοῦ ἄλη, ἡ πλάνη, ἀλίτης, ἀλείτης καὶ τλ. οὐχὶ δὲ ἀπὸ τοῦ λιτή).

Ἀλιτάνευτος, ὁ, ἡ· (λιτανεύω) μὴ ἐκλιπαρούμενος, μὴ ἐκλιπαρηθείς, ἀπαραίτητος (ὅστις δὲν ἐξιλεοῦται, δὲν ἐξιλεοῦθη μὲ παρακάλεσιν, ἀσυγκατάνευτος)· 2) = ἄλιστος.

Ἀλιτενής, ὁ, ἡ· (τείνω) μέχρι θαλάσσης, ἡ πρὸς θάλατταν ἐκτεινόμενος (ὅστις φθάνει ἕως εἰς τὴν θάλατταν, ἢ κοντὰ 'ς τὴν θάλ.) ὅθεν 2) ἀβαθής, πεδινός, ταπεινός (ῥηχός, ὄχι βαθύς, ἴσιωμα, χαμηλός) ἐξαιρέτως ἐπὶ βραχιῶν, τεναγῶν, καὶ ἀβαθῶν πλοιαρίων· Πλτχ. Θεμ. 14. Ἀλην. Ἀνπ.

Ἀλιτέρμων, ὁ, ἡ· γενκ. ονος (τέρμα) ὑπὸ τῆς θαλάσσης ὁριζόμενος, τῇ θαλάσσῃ γειτνιῶν· (ὅστις περιορίζεται ἀπὸ τὴν θάλατταν, συνορεύεται μὲ τὴν θάλ.)

Ἀλιτεύω καὶ ἀλιτέω· νεώτεροι τύποι ἀντὶ τοῦ ἀλιταίνω· πλανῶμαι, πλημμελῶ, ἁμαρτάνω, σφάλλομαι: ἐν σημτ. τοῦ πλημμελεῖν παρ' Αἰσχλ. Εὐμ. 316. κατὰ Ἕρμανον, ἀλλ' ὑπὸ Doederl. ἀμφιβ. Σφκ. Οἰδ. Κ. 371.

Ἀλιτέω· ἰδὲ ἐν τῷ ἀλιτεύω.

Ἀλίτημα, τό· πλάνη, ἁμάρτημα, σφάλμα, πταῖσμα, πλημμέλημα.

Ἀλιτήμενος, μετχ. Ἐνστ. τοῦ ἀχρήστου ῥήματ. ἐνστ. ἀλίτημι, ἀλίτημαι· ἁμαρτάνω· ἐκ τοῦ ἀλιταίνω σχηματισθεὶς· πλανώμενος, ἁμαρτάνων (ὅστις πλανᾶται, κάμνει ἁμαρτίαν)· Ὀδσ. Δ. 807. Θεοῖς ἀλιτήμενος· εἰς τοὺς Θεοὺς ἁμαρτάνων· ἄνευ πτωτικοῦ δὲ, παρ' Ἡσδ. Ἀσπ. 91. ἐσφαλμ. ἀναγ.

Ἀλιτήμερος, ὁ, ἡ· (ἀλιταίνω, ἡμέρα) σφαλλόμενος τῆς ἡμέρας, τοῦ καιροῦ· (ὅστις δὲν γίνεται ἢ δὲν ἔχει τὴν ἡμέραν ἢ τὸν καιρὸν ὅπου πρέπει) ὅθεν ἀκαίρως ἢ πρὸ τοῦ καιροῦ γεννηθεὶς (ὅστις γεννᾶται πρωτήτερα ἀπὸ τὸν διωρισμένον καιρὸν· ἄγωστος) Ἡσδ. Ἀσ. 91. ὡς τὸ ἠλιτόμηνος· Schaef. Greg. σλ. 879.

Ἀλιτημοσύνη, ἡ· = ἀλίτημα· ποιητ. ἀπὸ τοῦ

Ἀλιτήμων, ὁ, ἡ· γενκ. ονος· (ἀλιτέω)· μάταιος, ψευδής, ἁμαρτωλός, ἀσεβής, ἄδικος: ὑβριστής, ἀνόσιος, κακοῦργος· Ἰλδ. Ω. 157. Ἀπλλ. Ἀργ. γ'. 1057. δίκη ἀλιτήμων· ἄδικος κρίσις, ψῆφος· (ἄδικη ἀπόφασις κριτηρίου) ὡς τὸ ἀλιτήριος.

Ἀλιτήριος, ὁ, ἡ· Θκδ. 1, 126. ἔτι δὲ καὶ ἀλιτηρός, ὁ, ἡ· (ἀλείτης)· ἀνόσιος, ἀσεβής, μοχθηρός, ἁμαρτωλός, ἄδικος, κακοῦργος· ἐναγής· Θεοῖς ἀλιτήριοι· εἰς Θεὸν ἀσεβοῦντες· Ἀρστφ. Ἱππ. 437. Θκδ. 1, 126. 2) ἔνοχος δεινοῦ πλημμελήματος· (μεγάλου σφάλματος, μεγάλης ἁμαρτίας)· «οὗ οὐκ ἂν ὀκνήσαιμι ἔγωγε κοινὸν ἀλιτήριον τῶν μετὰ ταῦτα ἀπολωλότων ἁπάντων εἰπεῖν ἀνθρώπων, τόπων, πόλεων . . . οὕτως ἦν τῶν φύντων κακῶν αἴτιος»· Δμσθ. 3) ἀλιτήριος δαίμων = ἀλάστωρ· ἐκδικητικὴ Θεότης· Τίμαι. σλ. 24. ὑπὸ Ruhnk. (παρὰ Σφκ. Οἰδ. Κ. 364. ἔστι ἀμφοτέρων τῶν τύπων τὸ ι μακρόν, κατὰ Δοιδερλῖνον).

Ἀλιτηριώδης, ὁ, ἡ· (εἶδος)· τῷ ἀλιτηρίῳ προσήκων· ἔνοχος, αἴτιος ἁμαρτίας, ἀσεβήματος· «ἀλιτηριώδης οἶστρος, τύχη· δύναμις ἀλιτηριώδης ἑαυτῷ τε καὶ τῷ γένει»· Πλτ. Νμ. (φθοροποιός) μετὰ δοτκ.

Ἀλιτηρός, ὁ, ἡ· ἰδὲ ἀλιτήριος.

Ἀλίτης, ου, ὁ· = ἀλείτης παρὰ Γραμμτκ.

Ἀλιτόμηνος, ὁ, ἡ· (ἀλιταίνω, μήν) = ἠλιτόμηνος· Θεολογούμ. Ἀριθμτ. σλ. 55.

Ἀλιτόξενος, ὁ, ἡ· (ἀλιταίνω, ξένος) εἰς ξένον ἀλιταίνων· (ὅστις ἁμαρτάνει, φέρεται ἀσεβῶς πρὸς ξένον, ὁ ὁποῖος ἔρχεται εἰς τὸ σπήτι του, πρὸς κανένα ὅστε Ἰταλ. τὸ τουρκοβάρβ. μουσαφίρην) Hind.

Ἀλιτοφροσύνη, ἡ· (φρήν) ἀσεβὴς γνώμη, ἀσεβὲς φρόνημα (κακή, ἄδικος καρδία, ψυχή) Ἀνάλκ. Α'. 237.

Ἀλιτραίνω = ἀλιταίνω· Ἡσδ. Ἔρ. 332. ἀμφιβαλλόμενον ὑπὸ Δοιδερλ. Σφκ. Οἰδ. Κ. 364. καὶ ἤδη ἀποδοκιμασθὲν ὑπὸ Spohn.

Ἀλιτρεφής, ὁ, ἡ· (τρέφω) ἐν θαλάσσῃ ἢ ἐκ τῆς θαλάσσης τρεφόμενος, ἐν θαλάσσῃ φυόμενος, αὐξανόμενος (ὅστις τρέφεται, ζῇ εἰς, ἢ ἀπὸ τὴν θάλ. ὅστις γεννᾶται καὶ αὐξάνει, τραφεῖ 'ς τὴν θάλ.)

Ἀλιτρέω = ἀλιτέω· ἀνεγινώσκετο πρὸ τοῦ Ἑρμάνου παρ' Αἰσχλ. Εὐμ. 309.

Ἀλιτρία, ἡ· (ἀλιτρός) ἀσέβεια, πονηρία, μοχθηρία· Ἀρστφ.

Ἀλιτρίας, ὁ· = ἀλιτηρός· Ἡσχ.

Ἀλίτριος, ὁ· οὕτ. ἤθελεν ὁ Reisig ἀναγινώσκεσθαι παρὰ Σφκ. Οἰδ. Κ. 364. ἀντὶ τοῦ, ἀλιτηρός.

Ἀλιτρόβιος, ὁ, ἡ· (βίος) ἀσεβῶς βιῶν (ὅστις ζῇ ἀθεόφοβα) Νον.

Ἀλιτρόνοος, ὁ, ἡ· (νόος) ἀσεβῆ φρονῶν (ὅστις ἔχει φρονήματα, καρδίαν, ψυχὴν ἀθεόφοβα).

Ἀλιτρόπος, ὁ, ἡ· ἀντὶ ἀλιτρόπους· πλανωμένοις ποσὶ φερόμενος, ὅ ἐστι πλανώμενος, πλάνης, ἀστεθής, ἀκατάστατος· πιθανὴ ἀνάγν. παρὰ Ψευδφλ. 133. ἀντὶ ἀλίτρεπος: ὥπερ ἀντιλέγει ὁ Nehlhorn παρ' Ἀνκρ. 3Ϛ, 14.

Ἀλιτρός, ὁ· κατὰ συγκπ. ἀντὶ ἀλιτηρός, ἀσεβής, ἁμαρτωλός· δαίμοσιν ἀλιτρός· εἰς Θεοὺς ἁμαρτάνων· Ἰλδ. Ψ. 595. Tückebold: ἔτι δὲ καθ' ἧττον ἀκριβῆ ἔννοιαν, πανοῦργος, ἀπατεών, δόλιος, μηχανορράφος (ὅστις μεταχειρίζεται κάθε λογῆς δόλους καὶ πανουργίας)· Ὀδσ. Ε. 182. Ἰλδ. Θ'. 361. Ἀπὸ Θεογν. δὲ καὶ Πνδ. ὡς ἀπαράλλακτον ἐπίθτ. ἁμαρτωλός, ἀσεβής, κακός, πονηρός· ὅρκος ἀλιτρός· ἐπιορκία, ψευδορκία (ψεύτικος ὅρκος)· Θγν. ἀρ' οὐ

Ἀλιτροσύνη, ἡ· = ἀλιτρία· ποιητ. Ἀπλλ. δ'. 698.

Ἀλίτροφος, ὁ, ἡ· (τρέφω) ἀπὸ τῆς θαλάσσης τὸν βιοπορισμὸν αὐτοῦ ἔχων (ὅστις ζῇ, ἔχει τὸν πόρον τῆς ζωῆς του ἀπὸ τὴν θάλ.)

ἁλιεὺς, ναύτης, ναυτίλος· καὶ τ. τ. (ψαρᾶς, καραβοκύρης, ταξειδιώτης) = ἁλιτρεφής.

Ἀλίτρυτος, ὁ, ἡ· ἀλλὰ καὶ ἁλιτρύτη, ἡ· (τρύω)· ὑπὸ τῆς θαλάσσης κυμαινόμενος, ὑπὸ τῶν θαλαττίων κυμάτων κοπτόμενος, ὑπὸ τῆς θαλάττης ἀπειρηκὼς, ἀποκαμὼν (ὅστις χτυπιέται ἀπὸ τὴν θάλασσαν, ἀπὸ τὰ κύματά της, ἀποσταίνει ἢ ἀπόσταται ἀπὸ κόπους εἰς τὴν θάλ.). Χεῖρες ἁλίτρυτοι· κεκμηκυῖαι (κουρασμένα χέρια ἀπὸ θαλασσινὴν δουλειάν) κύμβη ἁλ. ρ. σκάφη, πλοιάριον ἁλίτυπον (καραβάκι, βάρκα, θαλασσοχτυπημένον) γέρων ἁλιτ. Θεόκρ. 1. 45. (ὅστις ἐγήρασεν εἰς τὰς φορτούνας τῆς θαλ.).

Ἀλίτυπτος = ἁλίτυπος· ὁ, ἡ.

Ἀλίτυρος, ὁ (τυρός) εἶδος τυροῦ· ἁλιστὸς τυρὸς (ἓν εἶδος τυριοῦ, ἁλατισμένον τυρί) Φιλοξ. 30 Ἐπ.

Ἀλίτω· ἄχρηστος Ἐνεστ. ἀφ' οὗ παράγεται ὁ ἀόριστ. ἀλιτεῖν. Δοιδερλ. παρὰ Σοφ. Οἰδ. Κ. 364. ἰδὲ ἀλιταίνω.

Ἄλιφα, ἰδὲ Ἄλειφαρ.

Ἀλιφθερόω· παρ' Ἡσυχ. ἀφανίζω, ἀπόλλυμι· κυρίως δὲ τὸ, καταποντόω, πνίγω, βυθίζω εἰς τὴν θάλατταν, καταποντίζω· ὅθεν «ὁ τόκος σου ἀλιφθερόει.» Σωφρ. Ἐτυμολ. μέγ. σελ. 714. Koen ad Grg. σελ. 158.

Ἀλιφθορία, ἡ· δυστύχημα κατὰ θάλατταν, ναυαγία, ναυφθορία (καραβοτσάκισμα, δυστυχία εἰς τὴν θάλ.) Ἀνάλ. β'. 403. ἀπὸ τοῦ

Ἀλίφθορος, ὁ, ἡ· (φθείρω) ὁ κατὰ θάλατταν φθειρόμενος, ἢ φθαρείς, ναυαγὸς (ὅστις χάνεται, ἢ ἐχάθηκε 'ς τὴν θάλασσαν· καραβοτσακισμένος). 2) ἐνεργητ. παροξυτόνως, ἀλιφθόρος, ὁ, ἡ· κατὰ θάλατταν φθείρων, ἀφανίζων, ἁρπάζων· (ὅστις ἀφανίζει, φθείρει, χαλάει, ἁρπάζει, σκοτώνει εἰς τὴν θάλατταν)· ὡς οὐσιαστικὸν δὲ, ὁ ἀλιφθόρος = πειράτης (κουρσάρος).

Ἁλίφλοιος, ὁ, ἡ· (φλοιός) θαλάττιος φλοιὸς (θαλασσόφλουδα, ἢ θαλασσόπετσα) βαλάνων εἶδός τι· παρὰ Θεοφρ. δὲ, Ἱστορ. Φυτ. 3, 9. εἶδός τι ἰχθύων ἀγνώστων.

Ἀλιφροσύνη, ἡ· ματαιοφροσύνη, κενοφροσύνη, μωρία, ἄνοια, ἀφροσύνη (φαντασία, ξεχαμάρα, ἀττοχατίζα, τρέλλα) ἀπὸ τοῦ

Ἀλίφρων, ονος, ὁ, ἡ· γενικ. ονος (ἅλιος, φρήν) ματαιόφρων, κενόφρων, παράφρων, μωρὸς, ἠλίθιος (φαντασμένος, ξεχασμένος, τρελλός).

Ἁλίχλαινος, ὁ, ἡ· (χλαῖνα) πορφύραν ἐνδεδυμένος (ὅστις φορεῖ ἐπανωφόρεμα, οἷον τὸ τουρκοβάρβαρον μπενίσι, ἢ τσεμπέ, βαθὺ κόκκινον) παράβαλε ἁλιπόρφυρος.

Ἀλίω· ἄχρηστος τύπος ἐκ τοῦ ἀλινδέω.

Ἁλίως ἐπίρρ. ἐκ τοῦ ἅλιος· μάτην, ματαίως, εἰκῆ, εἰς μάτην (μάταια, 'ς τὰ χαμένα). «τὴν δ' ἁλίως ἔχομεν τόξων.» Σοφ. Φιλοκτ.

Ἀλκάθοος, όου, ὁ· κύριον Ὀνομ. ἐν Ἰλ.

Ἀλκάθω, ποιητ. ἀπὸ τοῦ ἀλκέω παραχθέν. Σοφ.

Ἀλκαία, ἡ· κέρκος, οὐρὰ, ἐξαιρέτως ἡ λέοντος· (λεοντοουρά) Ἀπολλ. Γλ. Ἀργ. Δ. 93. ἀπὸ τοῦ ἀλκή πιθανῶς παραγόμ. ὀργιζόμενος γὰρ ὁ Λέων βίᾳ τὴν οὐρὰν αὐτοῦ πάλλει· ἄρα θηλυκὸν κυρίως τοῦ:

Ἀλκαῖος, αία, αῖον (ἀλκή) ἰσχυρὸς, ῥωμαλαῖος, δυνατός: ἀμυντικὸς, μάχιμος, πολεμικός· (δυνατὸς, ἀνδρειωμένος: ἄξιος νὰ διαφεντεύηται, ἄξιος 'ς τὸν πόλεμον.) Εὐριπ. Ἑλ. 1157. 2) ὀνομ. κύριον κατὰ πρῶτον παρ' Ἡσιοδ. Ἀσπ. 112.

Ἀλκάνδρη, ἡ· Ὀνομ. κύριον. ἐν Ὀδυσ.

Ἄλκανδρος, ὁ· κύριον Ὀνομ. ἐν Ἰλ.

Ἄλκαρ, τό· (κατὰ γενικ. καὶ δοτικ. ἄχρηστον) ἀντίφραγμα, προβολὴ, ἄμυνα, ὀχύρωμα, ἔρυμα· (κάθε μέσον διαφεντευτικὸν ἀπὸ ἐχθροὺς· μὲ τὸ ὁποῖον ἐμποδίζεται, σπρώχνεται ὀπίσω ἡ ὁρμὴ τῶν ἐχθρῶν) μετὰ δοτικ. «Οὐδὲ τί σε Τρώεσσιν ὀΐομαι ἄλκαρ ἔσεσθαι. Ἰλ. Ε. 644. καὶ μετὰ γενικ. Λ. 822. καὶ Ὕμ. Ὁμ. Ἀπόλ. 193. καὶ Ἀπολλ. Ῥόδ. ὑετοῦ ἄλκαρ· καὶ Φωκυλ. 2) βοήθεια, ἐπικούρημα, σκέπη, ἄμυνα, προστασία (ἀπὸ τοῦ, ἀλκή).

Ἀλκέα, ἡ. Μαλάχης (μολόχας) εἶδος Διοσκ. Γ'. 164. alcea.

Ἀλκείδης, ου, ὁ· Πατρωνυμικὸν τοῦ Ἀμφιτρύωνος, υἱοῦ, ἢ ἀπογόνου τοῦ Ἀλκαίου. Ἡσιοδ. Ἀσπ. 112 συνήθ. ὁ Ἡρακλῆς.

Ἀλκέω. Μλ. ήσω. βοηθῶ, ἀμύνω (διαφεντεύω), μετὰ δοτικ. ἰδὲ ἀλέξω.

Ἀλκή, ἡ· ῥώμη τοῦ σώματος· (δύναμις, σωματικὴ δύναμις) Ἰλ. Ρ, 212. Ὀδυσ. Ι, 214. Γ, 497. τῆς ψυχῆς ῥώμη, εὐθάρσεια, εὐψυχία, εὐτολμία (δύναμις τῆς ψυχῆς, καρδιὰ, τόλμη Ἰταλιστ. κοράζιο) Ἰλ. Ρ, 499. Τ, 381. πολλάκις μετὰ τοῦ μένος, σθένος, βία, ἠνορέα συνεκφερόμενον, ἀτινήθως· θηρία ἐς ἀλκὴν ἄλκιμα. Ἡρόδ. 3, 110. παρ' Ὁμ. δὲ, ἐπὶ τὸ πλεῖστον πολεμικὴ εὐθάρσεια, ἀνδρία, δύναμις μετὰ ψυχικῆς καὶ σωματικῆς ῥώμης (καρδιὰ εἰς τὸν πόλεμον, δύναμις ἠνωμένη μὲ θάρρος, καὶ μὲ δύναμιν τοῦ σώματος) ἐν προσβολαῖς τε καὶ ἀμύναις· ὅθεν 2) ἄμυνα, νίκη, ὀχύρωμα, ἔρυμα, βοήθεια, (διαφέντευσις) Διὸς, καὶ ἐκ Διὸς ἀλκή. Ἰλ. Θ, 140. Ο, 490: τὸ ἀμύνεσθαι, τὸ ἀντέχειν (τὸ νὰ διαφεντεύῃ τις τὸν ἑαυτόν του). Ὀδυσ. Χ, 305. ἀλκὴ κακοῦ· ἀποτροπὴ, ἄπωσις (τσακίζιμον ὀπίσω, διώξιμον) τοῦ κακοῦ, φυλακὴ ἀπὸ τοῦ κακοῦ (φύλαγμα ἀπὸ τὸ κακόν). Ἡσυχ. Ἀλκή τινος· ἄμυνα κινδυνεύοντός τινος (διαφέντευσις πρός τινα, ὅστις κινδυνεύει) Σοφοκλ. Οἰδ. Κ. 459. ἀλκήν τινος ποιεῖσθαι: βοήθεια, ἐπικουρία, βοήθημα, ἐπικούρημα. 3) ἐν γένει δὲ, ἀγὼν, ἔρις, μάχη (ἀγώνισμα, φιλονεικία, μάλωμα, πολέμημα) Εὐριπ. Ῥῆσ. 934. Φοίν. 434 Θουκ. Β', 8. ὅθεν εἰς, ἢ πρὸς ἀλκὴν τρέπεσθαι, τὸ ἀμύνεσθαι (διαφέντευμα τοῦ ἑαυτοῦ του). Ἡρόδ. 3, 78. 4, 125. Doederl. lect. Hom. 3. p. 7. — ἰδὲ καὶ τὸ ἑξῆς:

Ἄλκη, ἡ· θηρίον τι. Παρὰ τὸ Λατινιστὶ Alces ἢ Achlis (καὶ Γερμανιστ. Ellenthier ἢ Elenthier) ἐγένετο, ὡς φαίνεται ἐκ τοῦ Ἕλλην· τὸ γὰρ Ellen τῶν πάλαι Γερμανῶν ἀναλογεῖ τῷ Ἑλλ. ἄλκη.

Ἀλκήεις, εσσα, εν· Ῥωμαλέος, ἐρρωμένος, εὔρωστος, θαρραλέος, εὐθαρσὴς, ἀνδρεῖος, ἄλκιμος, μάχιμος, πολεμικὸς (ἀνδρειωμένος, δυνατὸς, τολμηρὸς, καρδιακλῆς, παλληκάρι, ἄξιος 'ς τὸν πόλεμον, παλλίκαρος, παλληκαρᾶς).

Ἀλκηστής, οῦ, ὁ· πρόμαχος, προστάτης, ἀμύντωρ, μαχητὴς, ἀγωνιστὴς (διαφεντευτής) ποιητικ.

Ἄλκηστις, ιδος, ἡ· Ὀνομ. κύριον ἐν Ἰλ.

Ἀλκί· δοτικ. πτῶσις τοῦ, Ἀλκή ἀπὸ τοῦ ἀχρήστου ἀλξ, ἀφ' οὗ αὕτη μόνη ἡ πτῶσις διετηρήθη, παρὰ ποιηταῖς μόνον ἐν χρήσει· τοῦ σώματος ῥώμην ἐξαιρέτως σημαίνουσα. Ὁ Ὅμηρος, παρὰ τῷ ὁποίῳ πεντάκις εὕρηται, χρῆται αὐτῇ καὶ περιφραστικῶς, ἀλκὶ πεποιθώς· καὶ Ἰλ. Σ. 158. ἐξαιρέτως μόνον ἐπ' ἀνημέρων θηρίων, μάλιστα λεόντων.

Ἀλκίβιος καὶ Ἀλκιβιάδειος, ὁ· εἶδος ἀγνώστου χόρτου. Νικ. Θηρ.

Ἀλκιμάχη, ἡ· Ἐπίθ. τῆς Ἀθηνᾶς.

Ἀλκίμαχος, ὁ, ἡ· (μάχομαι) ῥωμαλέως μαχόμενος (ὅστις πολεμεῖ ἄφοβα καὶ μὲ ἀνδρείαν σωματικήν).

Ἀλκιμέδων, οντος, ὁ· Ὀνμ. κύριον ἐν Ἰλ.

Ἀλκιμίδης, ου· Πατρωνυμ. τοῦ υἱοῦ τοῦ Ἀλκίμου. Ὀδυσ.

Ἀλκιμοποιός, ὁ, ἡ· ὁ ἄλκιμον, ῥωμαλέον ποιῶν τινα (ὅστις ἀνδρειώνει ἐγκαρδιώνει τινα).

Ἄλκιμος, ὁ, ἡ· ἐπ' ἐμψύχων, ῥωμαλέος, εὐσταθὴς, σταθερὸς, καρτερὸς, δεινὸς ἐν μάχῃ: (ἀνδρειωμένος, ὑπομονητικὸς εἰς τὰ κακά· παλληκαρᾶς 'ς τὸν πόλεμον, παλληκάρι) ἐπ' ἀψύχων· ἁδρὸς, ἐπιτήδειος, στερρὸς, στερεὸς (δυνατὸς, σίγουρος, ἁρμόδιος). Ἔγχος, δοῦρα ἄλκ. Ὁμ. καὶ Ἡρόδ. ἄλκιμος τὰ πολέμια. Ἡρόδ. 3, 110. Παρὰ τοῖς μεταγενεστ. δὲ, καὶ θηλυκ. ἀλκίμη. Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι· παροιμία ἐπὶ ποτὲ μεγαλοπρεπείας, ἢ λαμπρότητος· ὡς τὸ παρ' ἡμῖν κοινότερον· ἦταν μεγάλος, ἢ πλούσιος ἄνθρωπος ἕνα καιρόν. 2) ὁ Ἄλκιμος, οὐσιαστ. κύριον. Ὀνμ. Ἰλ.

Ἀλκίνοος, ου, ὁ· Ὀνμ. κύριον. Ὀδυσ.

Ἀλκίππη, ης, ἡ· Ὀνμ. κύριον. Ὀδυσ.

Ἀλκιστής· ἰδὲ ἀλκηστής.

Ἀλκίφρων, ὁ, ἡ· γενικ. ονος (φρὴν) εὔψυχος, εὔτολμος, εὐκάρδιος, μεγαλόψυχος, καρτερόθυμος. Αἰσχλ. Περσ. 91. 2) κύριον Ὄνομα.

Ἀλκμάων, ονος· ὁ· κύριον Ὀνμ. Ὁμ. (— — ⏑) Ἰωνικ. Ἀλκμαίων. Δωρικ. Ἀλκμάν, ᾶνος.

Ἀλκμήνη, ης, ἡ· κύριον Ὀνμ. Ὁμ.

Ἀλκτήρ, ῆρος, ὁ (ἀλκέω) ἀλέξημα, ἐπικούρημα· ἀποτρεπτικὸς (διαφέντευμα, διαφεντευτικὸς) μετὰ γενικ. τοῦ ἀποτρεπομένου, ἢ τοῦ, καθ' οὗ τὸ ἀλέξημα. Ἀλκ. ἀρῆς, κυνῶν καὶ ἀνδρῶν. Ὁμ. Ὀδυσ. Ξ, 531. Φ, 340. καὶ μετὰ δοτικ. τοῦ, ὑπὲρ οὗ ἡ ἀλέξησις, ἢ ἀφ' οὗ ἀποτρέπεταί τι. Ἡσ. Ἐν γένει δὲ, βοηθὸς, ἀμύντωρ (διαφεντευτής)· ἀφ' οὗ

Ἀλκτήριος, ὁ, ἡ· ἀμυντὴρ, ὑπερασπιστής, βοηθός.

Ἀλκτήριον, τό· ἀμυντήριον, ἐπικούρημα, ὠφέλημα· (διαφεντευτικὸν, βοηθητικὸν μέσον.) Νικ. Θηρ.

Ἀλκυόνειον καὶ ἀλκυόνιον, τό· Ἀττικ. ἀλκυόνιον· ζωοφύτου τι εἶδος, διὰ τὴν ὁμοιότητα αὐτοῦ τῇ καλιᾷ τῆς ἀλκυόνης (μὲ τὴν φωλιὰν τοῦ θαλαττινοῦ πουλιοῦ Ἀλκυόνη) οὕτως ἐπονομασθέν. Διοσκ. Ε. 136. παρὰ Δην. τὸ πρῶτον εἶδος halcyonium cotoneum, ἰδὲ Pallas Elenchus Zoophyt, p. 359. Τὸ ἐκ τῆς Προποντίδος δὲ, πέμπτον εἶδος τῶν ἀλκ. ζωοφύτων ὀνομάζετο ἐξαιρέτως Ἀλοσάχνη· ἰδὲ καὶ Ἀριστλ. Ζῶ. Ἱστ. Θ, 14.

Ἀλκυόνη, ἡ. Ὀνμ. κύριον. Ἰλ.

Ἀλκυονίδες, αἱ· Ἀττικ. Ἀλκυονίδες, μετὰ καὶ ἄνευ τοῦ, ἡμέραι· αἱ δεκατέσσαρες τῶν χειμερινῶν τροπῶν ἡμέραι, καθ' ἃς ἡ Ἀλκυὼν εἰωθε νεοττεύειν τὴν καλιὰν αὐτῆς. Ἀριστφ. Ὀρν. 1594. εἰσὶ δὲ αὗται γαληνιῶσαι καὶ ἥσυχοι. Πλν. 10, 32. «Ἡ δὲ Ἀλκυὼν τίκτει περὶ τροπὰς χειμερινάς· δι' ὃ καὶ καλοῦνται, ὅταν εὐδιειναὶ γένωνται αἱ τροπαὶ, ἀλκυόνειοι ἡμέραι· «περὶ μὲν οὖν τοὺς ἐνταῦθα τόπους οὐκ αἰεὶ συμβαίνει γίνεσθαι ἀλκυονίδας ἡμέρας περὶ τροπὰς, ἐν δὲ τῷ Σικελικῷ πελάγει σχεδὸν ἀεί.» Ἀριστλ. Ζῶ. Ἱστρ. Ε'. 8.

Ἀλκυόνιον, τό· Ἀττικ. ἀλκυόνιον = ἀλκυόνειον.

Ἀλκυόνιος, ὁ, ἡ· Ἀττικ. ἀλκυόνιος· ἐκ τῆς Ἀλκυόνος, ἢ τῇ Ἀλκυόνι ἀνήκων.

Ἀλκυονίς, ίδος, ἡ· Ἀττικ. Ἀλκυονίς· ὑποκοριστ. τοῦ, Ἀλκυών· νέα Ἀλκυών· (Ἀλκυονόπουλον).

Ἀλκυονίτιδες, αἱ· ὑπακουόμ. ἡμέραι. Ἀττικ. Ἀλκυονίτιδες· πιθανῶς κατὰ ψευδῆ ἀνα·

γοωσιν μόνον, προελθοῦσαν παρὰ τοῦ σχολιαστοῦ τῶν Ἀρστφ. Ὀρν. 251. ἰδὲ ἀλκυονίδες.

Ἀλκυών, όνος, ἡ· Ἀττ. Ἀλκυών· εἶδος θαλασσίου πτηνοῦ (θαλασσοπούλι). »Ὄρνις μὲν ἔτη μικρῷ στρουθῷ, χροιὰν δὲ ποικίλη· ἔστι γὰρ ἀναμὶξ χλωρὰ, κυανῆ, ὑποπόρφυρος, ῥάμφος ἔχουσα λεπτὸν, ἐπίμηκες, χλωρόν· ἐν χειμῶνι δὲ νεοττεύουσα μέσῳ ὡς ἑπτὰ ἡμέρας τὴν καλιὰν ἐργάζεσθαι, ἑπτὰ δὲ τίκτειν καὶ τρέφειν τοὺς νεοττεύς· ὅτε δὴ καὶ τὸ πέλαγος ἀκύματον καθάπαξ καὶ νήνεμον.« Ἀρστλ. Ζώ. Ἱστρ. Θ, 14. Λατινστ. alcedo ipsida. Voss. Virg. Georg, 1, 310. παράβαλε κηρύλος· (παραγωγὴ, ἀπὸ τοῦ ἅλς καὶ κύω). 2) ὄνομα κύριον ἐν Ἰλιδ.

Ἀλκω· ἄχρηστος τύπος ἐκ τοῦ ἀλαλκεῖν· ἰδὲ ἀλέξω.

Ἀλλά. Σύνδεσμος, ἀπὸ τοῦ ἄλλος· Συμπλεκτικός. (Ἀμή, ἀμ.) Ἀρνήσεως δὲ προηγουμένης, ἐναντιωματικός (ὅμως, μά). Ἔστι δὲ ἐξαιρέτως χρήσιμος ἐν ταχείαις ἀντιθέσεσι καὶ ἐπαλλάξεσιν ἐννοίας μεταβατικῶς ἀπὸ μιᾶς εἰς ἄλλην· μάλιστα δὲ ἐν διαλόγοις, τῆς ἀποκρίσεως ἄλλου τινὸς δηλωτικός, ἥτις δύναται θεωρεῖσθαι ἀεὶ ὡς ἐναντιωματική: Ἐν ἐπείξεως παρακελευσμοῖς, ἀλλ' ἄγε, ἀλλ' ἄγετε, ἀλλ' ἄγε δή· (ὀγλίγωρα! κάμε ὀγλίγωρα! καὶ τὸ τουρκοβάρβαρον, ἄιντε! ἄιντε! ντέ)· ὡσαύτως καὶ ἀλλ' ἴθι! (τρέξε! τρέχα! μὴ στέκεσαι! κάμε ὀγλίγωρα! μὴ χάνεις καιρόν!) Ὁμ. καὶ Πεζογρ. Ἔτι δὲ καὶ ἀλλ' οὖν! (ἐτζιδά! ἔτζι! καὶ μετὰ τοῦ τουρκοβαρβ. ντε, ἔτζι ντέ!) Εὐκτικοῖς καὶ προστακτικοῖς προτιθέμενος ῥήμασιν, ἐστὶν ἐπιτατικὸς τῆς εὐχῆς ἢ τοῦ προστάγματος, ἀμετόχως τῆς σημασίας τοῦ, εἴθε· ἀλλὰ μάχεσθε! (πολεμεῖτε δά!) κ. λ. τ. τ. Ὁμ. καὶ Πεζογρ. Ἐν ἀρχῇ λόγου, ἰσοδυναμεῖ τῷ παρ' ἡμῖν κοινῶς, μὲ ἢ ὅμως· ἀλλὰ μάλ' ὤφελες Διΐ τ' ἄλλοισίν τε θεοῖσιν . . . Ὀδ. Δ. 472. καὶ παρὰ Ξνφ. πολλάκις· μάλιστα δὲ καὶ ἐν ἀρχῇ τελείου ἐγγράφου λόγου. »Ἀλλ' ἐγὼ ἐννοήσας ποτὲ, ὡς ἡ Σπάρτη . . . Ξνφ. Λακεδ. Πολτ. καὶ »Ἀλλ' ἔμοιγε δοκεῖ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἔργα . . . Ξνφ. Συμπσ. καὶ παρὰ Δίω. Χρυσστμ. λγ. 12. καὶ ἀλλαχοῦ: Ἀλλ' ἄρα, (ὅμως πολὺ περισσότερον, μ' ὅλον τοῦτο) ὡς ἐπιτατικὸν τοῦ ἄρα ἀρνήσεως προηγουμένης. Ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν, ἠδ' ἐπὶ σῆμ' ἔχεεν. Ἰλδ. Ζ. 418. Ἀλλ' ἄρα καὶ ἰς ἐσθλή. Μ. 320: Λογογρφ. ἀλλὰ γάρ (βέβαια, μάλιστα) ἀλλ' οὐ γάρ πως ἔστι· (ὅμως εἶναι ἀδύνατον· μὰ δὲν ἠμπορεῖ νὰ γένῃ). Ἀλλ' οὐ γάρ πως ἔστιν ἀΰπνους ἔμμεναι αἰὲν ἀνθρώπους· Ὀδσ. Τ. 591. καὶ Λογογρφ. Schaefmel. σλ. 76. 77, παρ' Ἡρδτ. 1, 14. Ἀλλ' οὐδὲν γὰρ μέγα ἔργον ἀπ' αὐτοῦ ἄλλο ἐγένετο· κ. 9, 27. »Ἀλλ' οὐ γάρ τι προέχει τουτέων ἐπιμεμνῆσθαι: Ἐλάσσονος δὲ προτάσεως τῷ ἀλλὰ γὰρ ἐπιφερομένης, ἡ αἰτία τοῦ, τῷ ἀλλὰ ἀντικείμενος δευτέρου ῥήματος, κεῖται ἐν τῷ γάρ. »Ἀλλ' ἡδὺ γάρ τοι κτῆμα τῆς νίκης λαβεῖν, τόλμα· δίκαιοι δ' αὖθις ἐκφανούμεθα. Σφκλ. Φιλκ. 81. Πευτμ. καὶ »Ἀλλ' εἰμὶ γάρ πως πρόσφορος· μέλει δέ μοι μάλιστ' ἀδελφῶν τῶνδε, κἀμαυτῆς πέρι θέλω πυθέσθαι, μὴ 'πὶ τοῖς πάλαι κακοῖς προσκείμενόν τι πῆμα τὴν δάκνει φρένα. Εὐρπ. Ἡρκλ. 481. Elmsl. Matth. ausfr. Gr. Gr. 2, σλ. 1243. καὶ πότε τὸ, ἀλλὰ γάρ, κεῖται ἀντὶ τοῦ, ἀλλ' ἐπεί: Ἐνίοτε δὲ ὁ ἡγούμενος λόγος ἄρχεται διὰ τοῦ οὐ γάρ, καὶ ὁ ἑπόμενος διὰ τοῦ, ἀλλά.« Ὦ φίλοι, οὐ γάρ πω καταδυσόμεθ', ἀχνύμενοί περ, εἰς Ἀΐδαο δόμους, πρὶν μόρσιμον ἦμαρ ἐπέλθῃ· ἀλλ' ἄγετ', ὄφρ' ἐν νηΐ . . . Ὀδσ. Κ. 174. κ. 190. »Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν, ὅπῃ ζόφος . . . ἀλλὰ φραζώμεθα θᾶσσον; εἴ τις . . . Παράβαλε Franke Callin. σλ. 175: Ἀλλ' ἤτοι (ὅμως, ἐν τῷ μεταξὺ δὲ) κατ' ἐνεστῶτα μέρει ἐνδόσεως. Ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖθις. Ἰλδ. Α. 140. »Ἀλλ' ἤτοι ταὶ νόσφι καθήμεναι εἰσορόωσαι τέρπεσθον.« Ἰλδ. Δ. 9. καὶ 62. »Ἀλλ' ἤτοι μὲν ταῦθ' ὑποείξομεν ἀλλήλοισι.« καὶ Ὀδσ. Ἀλλ' ἤτοι μὲν ἐγὼ, ὑπερώϊον εἰσαναβᾶσα, λέξομαι εἰς εὐνήν . . .« Ἀλλὰ καὶ ὥς (ὅμως πάλιν, καὶ μὲ ὅλον τοῦτο) »Ἀλλὰ καὶ ὡς ἐθέλω δόμεναι, εἰ τό γ' ἄμεινον.« καὶ τὸ ἐναντίον, »Ἀλλ' οὐδ' ὥς« (μ' ὅλον τοῦτο, καὶ πάλιν) Ἀλλ' οὐδ' ὡς ἑτάρους ἐρρύσατο ἱέμενός περ.« Ὀδσ. Α, 6: Ἀλλά περ, σχηματίζει τὸν ἐλάσσω λόγον, τῷ εἰ ἐπιφερόμενος· (ἂν . . ., τότε) »Εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρεν, ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας . . .« Ὡσαύτως κεῖται καὶ τὸ, ἀλλά τε ἐν τῷ ἐλάσσονι μετὰ τὸ εἴπερ τε, εἴπερ γάρ, εἴπερ γάρ τε· (ἂν καὶ . . ., ὅμως πάλιν, μ' ὅλον τοῦτο) »Εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ.« Ἰλδ. Α. 81. »Εἴπερ γάρ φθάμενός μιν ἢ οὐτάσῃ, ἠὲ βάλῃσιν, ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει . . .« Φ, 577. »Τὸν δ' εἴπερ τε λάθῃσι καταπτήξας ὑπὸ θάμνῳ, ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ.« Χ, 192. Τῷ οὐδὲ, ἐπιφερόμενος, ἐναντιωματικὸς ἁπλῶς ἐστιν. »Οὐδ' ὅγε Πηνειῷ συμμίσγεται ἀργυροδίνῃ, ἀλλά τε μιν καθύπερθεν ἐπιρρέει, ἠΰτ' ἔλαιον« Ἰλδ. Β. 754. Ἔτι δὲ, τοῦ ἀλλ' εἰ, ἢ τοῦ ἐπειδὴ ἐν τῷ μείζονι λόγῳ κειμένου, ὁ ἐλάττων ἄρχεται τῷ ἀλλὰ ἁπλῶς. »Ἀλλ' εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι . . ., ἀλλὰ σὺ τόν γ' ἐπέεσσι παραιφάμενος κατέρυκες . . .« Ἰλδ. Ω, 771. »Ὦ φίλ', ἐπειδὴ πάμπαν ἀναίνεαι, οὐδέ τι φῇσθα . . ., ἀλλ' ἐγὼ οὐκ αὔτως μυθήσομαι, ἀλλὰ σὺν ὅρκῳ, ὡς νεῖται Ὀδυσσεύς.« Ὀδσ. Ξ, 151. Ἐν ἀμέσως ἐχομέναις προτάσεσι κεῖται δὶς ἀλληλοπαλλήλως τὸ ἀλλὰ ἐν Ἰλδ. Β, 241. »Ἀλλὰ μάλ' οὐκ Ἀχιλῆϊ χόλος φρεσίν, ἀλλὰ μεθήμων· καὶ 859. »Ἀλλ' οὐκ οἰωνοῖσιν ἐρύσσατο κῆρα μέλαιναν, ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο . . .« καὶ Ὀδ. Ξ. 151. καὶ παρὰ Λογγρφ. Τὸ ἀλλὰ, μετὰ τὸ ἄλλος ἀρνητικῶς κείμενον, ἰσοδυναμεῖ τῷ ἢ (παρὰ) συγκριτικῶς. »Ἀτὰρ οὔτε μοι αἴτιος, ἀλλὰ τοκῆε δύω« καὶ Φ, 72. »οὐδέ τιν' ἄλλην . . ., ἀλλ' ἐμὲ ἱέμενοι γῆμαι . . »Σπανίως δ' εὕρηται οὐδὲν — ἀλλὰ, ἀντὶ οὐδὲν — ἀλλ' ἤ. ». . . ὑπὸ νεανίσκων ἐᾶτε καταγελᾶσθαι ῥητόρων, οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένους . . .« Ἀρστφ. Ἀχρ. 680.

Οἱ δὲ μεθ' Ὅμηρον γράφονται τῷ ἀλλὰ οὐχ ὥσπερ Ὅμηρος λόγου ἀεὶ ὁριστικῷ, ἀλλὰ μιᾷ ἢ ἐνίαις λέξεσιν ἐπιφερομένῳ, καὶ τότε ἀναφέρεται οὐχὶ πρὸς ὅλον τὸν λόγον, ἀλλὰ πρὸς τὴν ἑπομένην λέξιν μόνον ἀντὶ τοῦ, τοὐλάχιστον (κἄν)· »τί δῆτ' ἂν ἀλλὰ νῦν σ' ἐπωφελοῖμ' ἐγώ;« (εἰς τί ἤθελε δυνηθῶ νὰ σοὶ βοηθήσω τώρα τοὐλάχιστον;) Σφκ. Ἀντγ. 552. »Πειράσατε ἀλλ' ὑμεῖς . . .« (δοκιμάσατε κἂν ἐσεῖς) Οἰδ. Κλ. 1276. καὶ 1405 . . . »ἀλλ' ὑμεῖς, ἐπεὶ τὰ σκληρὰ . . . μήτοι με, πρὸς θεῶν . . . μή μ' ἀτιμάσητέ γε. . .« καὶ Ἀρστφ. Ἀχρ. 1033. »Σὺ δ' ἀλλά μοι σταλαγμὸν εἰρήνης ἕνα, εἰς τὸν καλαμίσκον ἐνστάλαξον τουτονί.« Ἀλλὰ καὶ ὡς ὁριστικὸν λόγου ἔχει τὴν αὐτὴν ἐμφατικὴν σημασίαν, Ξνφ. Ἔτι δὲ κεῖται πολλάκις, ἀλλά γε (μ' ὅλον τοῦτο, τοὐλάχιστον). »Εἰ δὲ ἐν πᾶσι τούτοις ἡττώμεθα, ἀλλὰ τόγε πῦρ τοῦ καρποῦ κρεῖττόν ἐστιν. Ξνφ. Ἀνβ. II, V, 19. Τὰ δ' ἀλλά τε, ἀλλά γε, ἢ ἀλλ' οὔτε, σχηματίζει πολλάκις τὸν ἐλάσσω λόγον, Εὐρπ. Ἡλλ. 645. παρὰ Doederl. spec. καὶ Σφ. σλ. 58. Ἐν πευστικοῖς λόγοις δὲ ἐστὶ τὸ ἀλλὰ πλειόνων ἀλληλεχομένων πεύσεων συμπλεκτικόν· μόνον δὲ κείμενον, ἀμφιβόλου πεύσεως ἐστὶν εἰσηγητικόν. »Ἀλλ' εὔτεκνος ξυνωρίς; . . . ἀλλ' ἔτι νεάζων αὐτὸς εὕροιμ' ἂν βίον; . . .« Εὐρπ. Φοσ. 1634. 1635. Οὐ ἀλλ' ἢ, σφοδρᾶς, παραφέρου πεύσεως ἐστὶν ὁριστικός, ἀρνητικὴν ἀπόκρισιν προσδοκωμένην ἐχούσης· »ἀλλ' ἢ μέμηνας;« (μὰ ἐτρελλάθης; ἔχασες τὸν νοῦν σου;) Σφκ. Ἐν ἀρχῇ ἀποκρίσεως κείμενος ὁ ἀλλὰ, ἐμφαντικωτέρας βεβαιώσεως σημαντικός ἐστιν· (βέβαια, μάλιστα, τωόντι) »ἀλλ' ἀνάγκη« (βέβαια εἶναι ἀναγκαῖον) »ἀλλὰ δέχομαι« (τὸ δέχομαι μάλιστα) Ξνφ. ὑπὸ Heind. Πλατ. Γοργ. σλ. 463. d. Τῷ, οὐ μόνον, ἐπιφερόμενος, ἀντὶ τοῦ ἀλλὰ καὶ (μὰ καὶ) κεῖται. Μετὰ μορίων κείμενος, ἀλλά γε, ἀλλ' ἢ, καὶ τῷ οὐδὲν ἄλλο, πολλάκις ἐπιφερόμενος (τὸ ὀλιγώτερον ὅμως· κἄν· παρὰ μόνον) σημαίνει. Ἱππρ. 932. ὑπὸ Valck. ὅθεν καὶ βεβαιωτικός ἐστι· »ἀλλ' ἢ τρεχόβρωτες τοὺς λόγους μου κατέφαγον· ἀλλ' ἢ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι. Ἀρστφ. Ἀχρ. 1111. 1112. Ἐν γένει δὲ ὁ ἀλλ' ἢ, ἀρνητικοῖς ἐπιφερόμενος τὸ μόνον σημαίνει· »πῶς σ' οὐχὶ φιλεῖ σ', οὐδ' ἔστ' εὔνους, τοῦτ' αὐτό σε πρῶτα διδάξω, ἀλλ' ἢ διὰ τοῦθ' αὐθ', ὅτι ἡσσου τῆς ἀνθρακιᾶς ἀπολαύεις.« Ἀρστφ. Ἱππ. 780. ὑπὸ Bergl. ὅθεν καὶ πεύσεσιν ταῖς ἀρνήσεως περιεκτικαῖς ἐπιφερόμενος· »ταυτὶ τί ἦν τὸ πρᾶγμα ἀλλ', ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασι; Ἀρστφ. Βτρχ. 439. ὑπὸ Herm. Vig. σλ. 812. Ὡσαύτως καὶ ἀλλά γοῦν (μὰ πάλιν, ὅμως κἄν) ἀλλὰ καὶ, πολλάκις τῷ οὐ μόνον ἐπιφερόμενοι, τὸ ὁποῖον καὶ ἐλλείπει συχνάκις, (μὰ καί, μάλιστα) Volf [illegible]epl. σελ. 226, ἀλλὰ καὶ δή (μάλιστα καί): ἀλλὰ μέντοι (μὰ πάλιν, μὰ μ' ὅλον τοῦτο, ὅμως βέβαια) ἀλλὰ μήν γε (ὅμως πάλιν, τὸ ὀλιγώτερον). Διον. Ἀλκ. περὶ συνθ. σλ. 104. ὑπὸ Schaef. Ἀλλ' οὖν, ἀλλ' οὖν γε (καὶ μ' ὅλον τοῦτο, τὸ ὀλιγώτερον ὅμως). Ἀλλ' οὐ, ἀντὶ καὶ οὐ. Πλτ. Γοργ. σλ. 470. c. ὑπὸ Heind. Τὸ ἀλλ' οὐδὲ, ἐστὶν ἐπιτατικὸν οὐδὲ, ἐλλειπτικῶς, ἰδὲ Erf. obss. crit. in Ath. σλ. 25. ». . . τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἂν ἀλλ' οὐδ' ἀνερεβίνθου.« Ἀρστφ. Νφλ. 1397. Τῷ μᾶλλον ἢ πλέον ἐπιφερόμενος ὁ Ἀλλὰ, βεβαίωσιν κατ' ἐξαίρεσιν σημαίνει (παρά, πάραξ)· »Ἔστιν ὁ πόλε-

μος οὐχ ὅπλων τὸ πλέον, ἀλλὰ δαπάνης . . . Θεδ. α'. 83.

Ἀλλαγή (ἀλλάττω)· μεταβολή, τροπή, μεταλλαγή, ἀλλοίωσις· μετάλλαξις, φορτίων ἀμοιβή, ἐμπορεία ἐν γένει, χρηματισμός ἐν ὠνῇ τε καὶ πράσει· (ἀλλαξιμά, ἄλλαγμα· πάρσιμον καὶ δόσιμον, πραγμάτεια τόσον εἰς ἀγόρασμα ὅσον καὶ εἰς πώλημα.) Ἀγορὰ δὴ ἡμῖν καὶ νόμισμα ξύμβολον τῆς ἀλλαγῆς ἕνεκα γενήσεται. Πλτ. Πολτ. Β'. »δεῖ δ' πάντα δὲ σύμβλητά πως εἶναι, ὧν ἐστιν ἀλλαγή, ἐφ' ὅτῳ νόμισμα ἐλήλυθε.« Ἀριστλ. Ἠθ. Ε'. 2) ἐναλλαγή, μεταλλαγή, ἀμοιβή, ἀνταλλαγή, σταθμός· οἷον τῶν ἵππων ἐν ταχυδρομίαις (ἄλλαγμα, στατσιόνη Ἰταλ., π. χ. τῶν ἀλόγων εἰς τὴν Πόσταν, ἢ τὸ τουρκοβὶρβ. εἰς τὸ μενζίλι)· »ἐάν τις μίαν γοῦν ἀλλαγὴν παρελάσῃ, ἢ παριππεύσῃ.« Παιδιτ. ἰδὲ σταθμός. 3) ἀνταλλαγμός, ἐξιλασμός· ἐξιλασμός, ἐξίλασις, διαλλαγή, διάλυσις· συναλλαγή, συνάλλαξις, ξύνθημα, ξύνθεσις (ἀντίταγμα, ἐξίταγμα· παύσιμον ἔχθρας, φιλίωμα, συμβιβασμός, συμφωνία, τέργιανσις). Διον. Ἀλκ. Α'. 54.

Ἄλλαγμα, τό = ἀλλαγή, ὡς πρᾶγμα ἢ ἀποτέλεσμα τῆς ἀλλαγῆς· τὸ ἀλλαττόμενον, ἢ ἀλλαγέν (ὅ,τι ἀλλάζεται, ἢ ἀλλάχθηκεν).

Ἀλλαγμός, = ἀλλαγή, ὡς πρᾶξις.

Ἀλλακτικός, ή, όν· ὠνήσεως, ἢ ἀλλαγῆς ἐπιδεκτικός· (ὅ,τι ἐπιδέχεται πώλησιν ἢ ἀλλαγήν, ἠμπορεῖ νὰ πωληθῇ, νὰ ἀλλαχθῇ μὲ ἄλλο τίποτε) ἐξιτασμοῦ, ξυναλλάξεως, ξυνθέσεως ἐπιδεκτικός, ἢ ἐξιτασμὸς ἀνήκων (ὅ,τι ἁρμόζει ἢ ἀνήκει, εἰς τέργιανσιν, συμβίβασμα, ἐξίταγμα κτλ.). Ἀριστλ. Ἠθ. Ε.

Ἀλλακτόν, τό· ἐξιτασμὸς διὰ μαστιγώσεως, ἢ σιαστμοῦ· (ἐξίταγμα μὲ δαρμόν, μὲ ξυλιαῖς) »ὁ ἔχων γυναῖκα καὶ πορνεύων, διὰ δώδεκα ἀλλακτῶν σωφρονιζέσθω.« Σύνδ. Κεφ. Θ'. ὑπ' ἄλλων δὲ ἐξηγεῖται ἡ λέξις διὰ τοῦ, ἑβδομήκοντα φραγκέλλια, μαγκλάβιος δαρμός.

Ἀλλαντοειδής, ό, ή· (ἀλλᾶς) ἀλλᾶντι ὅμοιος (ὅμοιος μὲ λουκάνικον, σὰν λουκάνικον)· ἀλλαντοειδὴς ὑμὴν· ἡ κύστις (ἡ φούσκα ἀπὸ τὸ κάτουρον). Γαλ.

Ἀλλαντοποιέω· ποιῶ, κατασκευάζω ἀλλᾶντας (φτιάνω λουκάνικα) ἀπὸ τοῦ

Ἀλλαντοποιός· (ἀλλᾶς, ποιῶ) ἀλλᾶντας ποιῶν, ἢ κατασκευάζων (ὅστις φτιάνει λουκάνικα, Λουκανᾶς).

Ἀλλαντοπωλέω. Μλ. ήσω· ἀλλᾶντας πωλῶ (πωλῶ λουκάνικα) ἀπὸ τοῦ

Ἀλλαντοπώλης, ου, ὁ· (ἀλλᾶς, πωλέω) ἀλλᾶντας πωλῶν (ὅστις πωλεῖ λουκάνικα).

Ἀλλάξ. Ἐπῤῥ. (ἀλλάττω) ἀμοιβαίως, κατ' ἀλλαγήν (ἀλλαχτά, μὲ ἄλλαγμα).

Ἄλλαξις, εως, ἡ (ἀλλάττω) ἀλλαγή, ἀμοιβή (ἀλλαξιά).

Ἀλλᾶς, ᾶντος, ὁ· (λουκάνικον) ἡ παραγωγὴ τῆς λέξεως πιθανολογεῖται ὑπό τινων ἀπὸ τῆς allium Λατινστ. τὸ σκόρδον (σκόρδον) σημαινούσης, ὅπερ πρὸς τοῖς ἄλλοις χρησιμεύει εἰς τὴν ἀλλαντοποιΐαν (εἰς τὸ κατασκεύασμα ἀπὸ τὰ λουκάνικα).

Ἀλλάττω, Μλ. άξω, Ἀττ. ἀλλάσσω· παθτκ. ἀόριστ. α'. ἠλλάχθην, ἀεὶ παρ' Ἡρδτ. συνήθ. παρὰ τοῖς Τραγ. παρ' Ἀριστφ. ἐνίοτε. Παθτκ. Ἀόριστ. β'. ἠλλάγην, παρὰ τοῖς Ἀττ. Λογγρφ. μάλιστα ἐν χρήσει· (ἀπὸ τοῦ, ἄλλος)· ἀλλοῖον ποιῶ, ἀλλοιῶ, μεταβάλλω, μετανεοῶ »ἀλλάττων τὸ ἑαυτοῦ εἶδος εἰς πολλὰς μορφάς.« Πλτ. Πολτ. Β'. (ἀλλάζω, κάμνω ἀλλοιῶς, ἢ ἀλλοιώτικον). 2) λαμβάνω, ἢ δίδωμί τι ἀντ' ἄλλου τινος, ἀνταποδίδωμι, ἀποδίδωμι, ἀμείβομαί τί τινος, μεταλλάττω τι πρός τι, ἀνταλλάττω τί τινος· »ἀλλάττειν χρυσοῦ ἄργυρον.« Πλτ. Πλτ. Β'. (παίρνω ἢ δίδω τι δι' ἄλλο τι· ἀλλάζω τι μὲ ἄλλο τι, κάμνω ἀλλαξιάν·) ἀλλάσσειν τόπον, γῆν καὶ τ. τ. ἰδὲ ἐν παραλλάττω τὸ 1 καὶ τὸ γ'. Κατὰ μέσ. διαθ. ἀλλάττομαί τί τινος, ἢ ἀντί τινος, σπανιώτερον τί τινι, ὡς παρ' Ἡρδτ. 7. 152. » . . . εἰ πάντες ἄνθρωποι τὰ οἰκήϊα κακὰ εἰς μέσον συνενείκαιεν, ἀλλάξασθαι βουλόμενοι τοῖσι πλησίοισι . . .« ὠνοῦμαι, (ἀγοράζω) πωλῶ.

Ἀλλαχῇ. Ἐπῤῥ. (ἄλλος) ἄλλως (ἀλλοιώτικα, μὲ ἄλλον τρόπον). 2) ἀλλαχοῦ, ἄλλοθι, ἀλλαθίπου, ἑτέρωθι (ἀλλοῦ, εἰς ἄλλο μέρος πουθενά, εἰς ἄλλον τόπον) ἄλλος ἀλλαχῇ, (ἕνας ἐδῶ κι' ἄλλος ἐκεῖ).

Ἀλλαχόθεν. Ἐπῤῥ. ἄλλοθεν (ἀπ' ἄλλο μέρος, ἀπ' ἄλλον τόπον).

Ἀλλαχόθι. Ἐπῤῥ. ἐν ἄλλῳ τόπῳ ἢ μέρει (εἰς ἄλλο μέρος, 'ς ἄλλον τόπον) στάσεως σημαντικόν.

Ἀλλαχόσε. Ἐπῤῥ. εἰς, ἢ πρὸς ἄλλον τόπον ἢ μέρος· — κινήσεως σημαντικόν, »τῇ στρατιᾷ ἀλλαχόσε χρῆσθαι.« Ξνφ. Ελ. Π. Ζ. 4.

Ἀλλαχοῦ = ἀλλαχῇ· ἀλλαχοῦ γέγραπται. Ξνφ. Ἀνβ. Β'. 6.

Ἄλλεγον, ἀλλέξαι. Ὁμ. ἀντὶ ἀνέλεγον, ἀναλέξαι. Ἰλ. Φ, 321 καὶ Ψ, 253. ἰδὲ ἀναλέγω.

Ἀλλεπαλληλία, ἡ· ἄθροισις ἑνὸς ἐπ' ἄλλο, ἐπισώρευσις· (μάσιμον ἓν ἀπάν' τ' ἄλλο, σώρευμα).

Ἀλλεπάλληλος, ό, ή· εἷς ἐπ' ἄλλου, συνεχὴς πυκνός (ἕνας ἀπάνω τὸν ἄλλον, ἕνας μετὰ τὸν ἄλλον).

Ἀλλῇ. Ἐπῤῥ. κυρίως δοτικὴ τοῦ ἄλλη = ἀλλαχόσε, ἄλλοτε· (ἀλλοῦ πουθενά) Ἰλ. Ε, 187. Ὀδ. Σ, 287. »ἔρχεται ἄλλῃ τὸ παρ' ἡμῖν κοινότερον, πάγει 'ς τὰ χαμένα. Ἰλ. Α. 120. Παρὰ Λογγρ. ἀπὸ Ἡρδτ. καί, τῇ ἄλλῃ, ἀναπληρουμένου συνήθως διὰ τοῦ, ὁδῷ. Schaef Bos. σλ. 353. ἄλλῃ καὶ ἄλλῃ· ἔνθα καὶ ἔνθα, δεῦρο κἀκεῖσε (ἐδῶ κ' ἐκεῖ). 2) ἀλλαχοῦ, ἀλλαχῇ, ἀντὶ ἄλλοθι, ἀλλαχόθι (ἀλλοῦ, ἀλλοῦ πουθενά). Ἡρδτ. ἄλλος ἄλλῃ· (ἕνας ἐδῶ, ἄλλος ἐκεῖ.) 3) = ἄλλως (ἀλλεγῶς, ἀλλοιώτικα, μ' ἄλλον τρόπον, ἀπὸ ἄλλην αἰτίαν). Ἰλ. Ν, 49. Ο, 51. Ἡρδτ. 6, 21: δι' ἄλλην αἰτίαν· »ἄλλοι ἄλλῃ ψέχοντο ἐπ' ἀργυρολογίαν.« Ξνφ. καὶ Αἰλ. Ποικλ. Ἱστ. Θ', 59· ὁ δὲ Ἡρδτ. χρῆται αὐτῷ ἐνάρθρως τὰ πλεῖστα.

Ἀλλ' ἤ· ἀλλ' ὅτι (πλὴν ὅτι) τίθεται μετὰ τὸ ἄλλος, ἢ ἕτερος, ἢ μετ' ἄρνησίν τινα· ἀπὸ Ἡροδότου ἐν πολλῇ χρήσει· ἰδὲ ἄλλος.

Ἀλλ' ἦ· τοσοῦτο; οὕτως; (ἀλήθεια; μὲ τὰ σωστά;) εἰς ἐναργῆ πεῦσιν »ἀλλ' ἦ προθυμον οὔταν οὐκ ἐᾷ Θεὸς ξένοις ἀρήγειν τήνδε χρῄζουσαν;« Εὐρπ. Ἡρκλ. 326. Πλτ. Νμ. σλ. 591. 2) ὄντως, βεβαίως· (βέβαια, ἀληθινά, χωρὶς μέτωρα) εἰς ἐμφατικὴν βεβαίωσιν· (μὴ γραφέσθω δέ, ἀλλ' ἤ) ἰδὲ ἀλλά.

Ἀλληγορέω. Μλ. ήσω (ἄλλος, ἀγορεύω)· ἄλλο λέγω ἀντὶς δι' ἐκεῖνο ὁποῦ πρέπει νὰ καταλάβουν· ὁμιλῶ ἀλληγορικά, δηλ. ἄλλο λέγω καὶ ἄλλο νοῶ. 2) διηγοῦμαι, ἐξηγοῦμαι, σαφηνίζω τι ἀλληγορικῶς· ἀφ' οὗ:

Ἀλληγόρημα, τό· ἀλληγορικὴ φράσις, λέξις, ἢ ἐξήγησις.

Ἀλληγορητής, οῦ, ὁ· ἀλληγορίας σαφηνίζων· ἀλληγορικὸς ἑρμηνευς ἢ ἐξηγητὴς μύθου τινος (ὅστις ἐξηγεῖ ἀλληγορικὰ κανένα μῦθον, ὅστις ἐξηγεῖ ἀλληγορίας) οὕτως ἐπονομάζεται ὁ Παλαίφατος.

Ἀλληγορία, ἡ· ἀλληγορική, εἰκονικὴ ἔμφασις, ἡ παράστασις δι' ἄλλου ὀνόματος ἢ δι' ἄλλης εἰκόνος· (παράστησις ἢ εἰκόνα, ἡ ὁποία ἄλλο σημαίνει παρὰ ἐκεῖνο ὁποῦ φανερώνουν οἱ λόγοι ἢ ἡ ζωγραφιά.) 2) ἀλληγορικὴ ἑρμηνεία ἢ ἐξήγησις ἐξαιρέτως μυθικῶν λόγων, καὶ μύθων κατά τε τὸ φυσικὸν καὶ κατὰ τὸ ἠθικόν· (ἐξήγησις ἢ ἀπολέκασμα ἀπὸ παραμύθια καθὼς συνειθίζεται νὰ λέγῃ ἕνας κανένα παραμύθι διὰ νὰ τὸ ἀποκάτῃ ὁ ἄλλος, π. χ. τί εἶναι ἕνα κολοκύθι μὲ ἑπτὰ τρύπες; κεφάλι ζώου.)

Ἀλληγορικός, ή, όν· κατ' ἀλληγορικὴν ἔννοιαν ἐκφερόμενος, ἢ ἀλληγορικὴν σημασίαν ἔχων· (καθὲ τι τὸ ὁποῖον ἐκφράζομεν μὲ ἀλληγορικὸν τρόπον, ἢ τὸ ὁποῖον ἔχει ἀλληγορικὸν νόημα) ἀλληγορικοὶ ὄνειροι. Εὐστθ. ἀλληγορικαὶ μέθοδοι. Ἑρμγ.

Ἀλληγορικῶς. Ἐπῤῥ. ἀλληγορικῷ τρόπῳ· (ἀλληγορικά, μὲ ἀλληγορίαν, μὲ τρόπον ἀλληγορικόν.)

Ἀλλήκτι. Ἐπῤῥ. ποιητ. ἀντὶ ἀλήκτι (λαγχάνω) ἄνευ κλήρου (χωρὶς λαχνόν) Ἡσύχ.

Ἀλληλάζω· ἰδὲ ἀλληλίζω.

Ἀλληλανεμία, ἡ· διαφόρων ἀνέμων ἀλλεπάλληλος πνοὴ (τὸ φύσημα ἀπὸ διαφόρους ἀνέμους εἰς τὸν ἴδιον καιρόν). Ἰωάνν. Λαυρέντ. Βροντοσκ. σλ. 252.

Ἀλληλέγγυον, τό· οὐσιαστ. (ἀλλήλων, ἐγγύη) ἀμοιβαία ἐγγύησις (τὸ νὰ στέκηται ἕνας καλὸς δι' ἄλλον καὶ ἐκεῖνος δι' αὐτόν).

Ἀλληλέγγυος, ό, ή· (ἀλλήλων ἔγγυος) ἀμοιβαίως ἐγγυούμενος (ὅστις στέκεται καλὸς δι' ἄλλον καὶ ἐκεῖνος δι' αὐτόν).

Ἀλληλεγγύως. Ἐπῤῥ. ἀμοιβαία πρὸς ἀλλήλους ἐγγυήσει· (μὲ ἐγγύησιν, ἢ δόσιμον, μὲ ὑπόσχεσιν ὁ ἕνας διὰ τὸν ἄλλον) ἀλληλεγγύως δανείζεσθαι.

Ἀλληλεδωταί, οἱ· (ἀλλήλων ἐδωδή) ἀλλήλους κατατρώγοντες· (ὅσοι τρώγονται ἀναμεταξύ τους ὁ ἕνας μὲ τὸν ἄλλον.) Ἡσχ. ἀλληλοβόροι.

Ἀλληλένδετος, ό, ή· (ἐνδέω) ἑτέρῳ ἀμοιβαίως δεδεμένος, συνεχής· (ὅστις εἶναι δεμένος ἀπὸ ἄλλον καὶ ἐκεῖνος ἀπ' αὐτόν· π. χ. ἡ ἀλυσίδα) Νεοφ. Προσφ. Χριστ.

Ἀλληλίζω. Μ. ἴσως ἐπιτιθεμένῳ μοι τινι ἐπιτίθεμαι· (ὁρμῶ εἰς τὸν ἴδιον καιρὸν πρὸς ἐκεῖνον ὅστις ὁρμάει ἐναντίον μου.) 2) λαλῶ, ἄλλα ἀντ' ἄλλων ἀεὶ λέγων· (ὁμιλῶ λέγοντας πάντοτε ἄλλα ἀντὶς διὰ ἄλλα, ἢ ἀλλάζοντας πάντοτε τὴν ὁμιλίαν.) οὕτως ἑρμηνεύει ὁ Ἡσχ. μόνος τὴν λέξιν, ὅστις καὶ τὸ ἀλληλάξαι διὰ τοῦ ἀλλήλους ἐλάσαι ἐξηγεῖ.

Ἀλληλοβασία· ἡ. ἀμοιβαίαν ἐν συνουσίᾳ ἐπίβασις. Κλημ. Ἀλεξ. σλ. 223.

Ἀλληλοβόρος, ό, ή· (βιβρώσκω, βορά) τὸν βιβρώσκοντα βιβρώσκων· (ὅστις τρώγει ἐκεῖνον, ὁ ὁποῖος τὸν τρώγει.) Ἡσχ. πληθυντ. μόνον ἐν χρήσει.

Ἀλληλογραφία, ἡ· τὸ ἀμοιβαίως γράφειν) (τὸ νὰ γράφῃ τις πρὸς ἐκεῖνον ὅστις γράφει πρὸς αὐτόν)· παρ' ἡμῖν δὲ συνήθως ἀνταπόκρισις, κορρισποδέντζα Ἰταλιστί.

Ἀλληλοδιάδοχος· ό, ή· (διάδοχος) ἀμοιβαίως διαδεχόμενος· (ὅστις πέρνει, μεταχειρίζεται τίποτε, τὸ ὁποῖον ἄφησεν ἄλλος, ὁ ὁποῖος τὸ ἐπῆρε, μεταχειρίσθηκεν ὁμοίως ἀφ' οὗ τὸ ἄφησεν ἄλλος· καὶ ὅστις ἐμβαίνει εἰς τὸν τόπον ἐκείνου, εἰς τὸν ὁποῖον καὶ ἐκεῖνος πάλιν ἐμβῆκεν, ἀφ' οὗ τὸν ἄφησεν ἄλλος) ἔστι δὲ ἡ λέξις κατὰ πληθυντικὸν ἀριθμὸν μόνον ἐν χρήσει. Ἐπῤῥ. ἀλληλοδιαδόχως.

Ἀλληλοκτονεύω = ἀλληλοκτονέω· ἀμφβ.

Ἀλληλοκτονέω· Μλ. ήσω· (ἀλληλοκτόνος) τὸ ἀμοιβαίως κτείνειν (τὸ ἀλληλοφονεύει, σκοτώνει ἕνας τὸν ἄλλον) Ἱππρ. Ἐπιστ. πρὸς Δημκρ. ἀφ' οὗ·

Ἀλληλοκτονία· ἡ· ἀμοιβάδην κτόνος· (σκοτωμὸς ἑνὸς μὲ τὸν ἄλλον).

Ἀλληλοκτόνος, ὁ, ἡ· (ἀλλήλων, κτείνω) ἀμοιβαίως κτείνων (ὅστις φονεύει τὸν φονέα του) ἐπ' ἀνθρώπων: ἀμοιβαίας φθορᾶς πρόξενος (ὅστις φθείρει τὸν φθορέα του) ἐπὶ πραγμάτων· ἔστι δὲ ἡ λέξις πληθυντικῶς μόνον ἐν χρήσει.

Ἀλληλομαχέω· (μάχομαι) ἀμοιβαίως μάχομαι (πολεμῶ ἐκεῖνον ὅστις μὲ πολεμεῖ) μόνον κατὰ πληθυντικὸν ἀριθμὸν χρήσιμον· ἀλληλομαχοῦμεν· κτλ. (πολεμοῦμεν ἀναμεταξύ μας· κτλ.) ἀφ' οὗ

Ἀλληλομαχία, ἡ· μάχη πρὸς ἀλλήλους· (πόλεμος, τὸν ὁποῖον κάμνουσιν ἕνας πρὸς τὸν ἄλλον).

Ἀλληλομάχος (μάχομαι) ἀμοιβαίως μαχόμενος (ὅστις πολεμεῖ ἐκεῖνον ὅπου τὸν πολεμεῖ)· Ἀριστλ. Ζω. Ἱστ. 9, 2, 9. κατὰ Const. Gloger, de avib. ab Aristot. commem. Bresl. 1830. σλ. 50.

Ἀλληλοτομέω· (τέμνω) ἀμοιβαίως τέμνω· ἢ τεμνόμενος τέμνω· (κόπτω ἐν ᾧ μὲ κόπτουν, ἢ ἐκεῖνον ὅστις μὲ κόπτει) Περίπατος ἀλληλοτομούμενος, οἱ σταυρηδὸν ἀλλήλους τέμνοντες (σταυροδρόμι).

Ἀλληλότροπος, ὁ, ἡ· (τρέπω) σχῆμα ἢ εἶδος ἀμοιβαίως ἀλλάττων· (ὅστις ἀλλάζει πότε ἕνα καὶ πότε ἄλλο σχῆμα ἢ εἶδος)· κατὰ πληθυντ. ἀριθμὸν μόνον ἐν χρήσει· «φαντασίαι ἀλληλότροποι« αἱ ἀμοιβαίως τρεπόμεναι καὶ πρὸς ἀλλήλας μεταβαλλόμεναι· Στοβ. Φυσικ. σλ. 232.

Ἀλληλοτρόφος, ὁ, ἡ· (τρέφω) ἀμοιβαίως τρεφόμενος (ὅστις θρέφει ἐκεῖνον ἀπὸ τὸν ὁποῖον θρέφεται), πληθυντικῶς μόνον ἐν χρήσει.

Ἀλληλοτυπέω· (τύπτω) τὸν τύπτοντά με τύπτω· (κτυπῶ ἐκεῖνον ὅπου μὲ κτυπᾷ).

Ἀλληλοτυπία, ἡ· ἀμοιβαῖος αἰκισμός, ἀμοιβαία μαστίγωσις, πληγὴ (κτύπημα, ξύλισμα, πλήγωμα ἕνας μὲ τὸν ἄλλον).

Ἀλληλούϊα· Ἑβραϊκὴ λέξις, ἣν ὁ μὲν Θεοδοτίων ἑρμηνεύει: αἰνεῖτε τὸ Ὤν· ὁ δ' Ἡσύχ. αἶνος τῷ ὄντι Θεῷ· αἰνεῖτε τὸν Κύριον· Ἰουστῖνος ὁ μάρτ. ὑμνήσατε μετὰ μέλους τὸ Ὤν· ὁ Γερμανός, Ἐκκλησιαστ. Θεωρία, σλ. 155. ἐδέλει τὴν λέξιν ἐκ τριῶν ἑβραϊκῶν λέξεων σύνθετον· Ἀλ, Ἠλ, Ουϊα· ὧν τὸ μὲν Ἀλ σημαίνει. «ἔρχεται, ἐφάνη· τὸ δὲ Ἠλ· «ὁ Θεός« καὶ τὸ Ουϊα, «αἰνεῖτε καὶ ὑμνεῖτε τὸν ζῶντα Θεόν·« καὶ ἄλλως· Ἀλ, ὁ πατήρ· Ἠλ, ὁ υἱός· Ουϊα, τὸ πνεῦμα τὸ ἅγιον· καὶ ἄλλως· «Ἀλληλούϊα, «Θεὸς ἰσχυρός, κραταιός, αἶνος Θεοῦ· » . . . Ἀλληλούϊα« αἶνον Θεοῦ σημαίνει τριττῶς, διὰ τὴν τρισυπόστατον πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος ἑνιαίαν Θεότητα« καὶ ἄλλως· Ἀλληλούϊα· «κῆρυξ τοῦ εὐαγγελίου πρᾶξιν, ὁ Κύριος ἔρχεται.« Κυρίως δὲ σημαίνει τό, αἰνεῖτε τὸν ὄντα Θεόν· αἶνος τῷ ὄντι Θεῷ, αἰνέσατε· ὑμνήσατε.

Ἀλληλουχέω· (ἀλληλοῦχος) ἀμοιβαίως ἔχομαι, ἀρτῶμαι, συνδέδεμαι· (κρατιοῦμαι, κρέμομαι, εἶμαι δεμένος ἀπὸ ἐκεῖνον, ὁ ὁποῖος κρατιέται, κρέμεται, εἶναι δεμένος ἀπὸ ἐμένα, π. χ. καθὼς ἡ κλείδωσις ἀπὸ ἄλυσον)· ἀφ' οὗ

Ἀλληλουχία, ἡ· τὸ ἀμοιβαίως, ἔχεσθαι, ἀρτᾶσθαι, συνάπτεσθαι (κρέμασμα ἢ πιάσιμον, δέσιμον ἓν ἀπὸ τ' ἄλλο)· Διον. Ἀλικ.

Ἀλληλοῦχος, ὁ, ἡ· (ἔχω) ἀμοιβαίως ἐχόμενος, ἀρτώμενος, συνημμένος· (ὅστις κρατιέται, κρέμεται, εἶναι πιασμένος ἀπὸ ἐκεῖνον, ὅστις κρατιέται κρέμεται, πιάνεται ἀπὸ αὐτόν).

Ἀλληλοφαγέω· (ἀλληλοφάγος) τὸν τρώγοντά με τρώγω· (τρώγω ἐκεῖνον ὁποῦ μὲ τρώγει) Ἀριστ. Ζω. Ἱστ. 8. ἀφ' οὗ

Ἀλληλοφαγία, καὶ Ἰων. ἀλληλοφαγίη, ἡ· τὸ ἀμοιβαίως τρώγεσθαι· (φάγωμα ἕνας μὲ τὸν ἄλλον, ἀναμεταξύ τους)· Ἡρόδ. 3, 25. «πυθόμενος δὲ ταῦτα ὁ Καμβύσης, δείσας τὴν ἀλληλοφαγίην, ἀπεὶς τὸν ἐπ' Αἰθίοπας στόλον. . .« καὶ Πλτ. Ἐπινμ. σλδ. 975. Α. «ἔστω δὴ πρῶτον μέν, ἡ τῆς ἀλληλοφαγίας τῶν ζώων, ἡμᾶς τῶν μέν, ὡς ὁ μῦθός ἐστι, τοπαράπαν ἀποστήσασα, τῶν δὲ εἰς τὴν νόμιμον ἐδωδὴν καταστήσασα.

Ἀλληλοφάγος, ὁ, ἡ· (φαγεῖν) ἀμοιβαίως καταβιβρώσκων, καταναλίσκων, φθείρων· (ὅστις κατατρώγει, χαλνάει, ἀφανίζει, φθείρει ἐκεῖνον, ὅστις τὸν κατατρώγει χαλνᾷ κτλ.) πληθυντ. μόνον ἐν χρήσει· Ἡρόδ.

Ἀλληλοφθονία, ἡ· (φθόνος) ἀμοιβάδην φθόνος· (φθόνημα, ζήλεια καὶ ἀπὸ τὸ ἕνα καὶ ἀπὸ τὸ ἄλλο μέρος)· Διον. Ἀλικ.

Ἀλληλοφθορέω· Μλ. ήσω· τὸν φθείροντά με φθείρω· (φθείρω ἐκεῖνον, ὁποῦ μὲ φθείρει)· ἀφ' οὗ

Ἀλληλοφθορία, ἡ· ἀμοιβάδην φθορά, κτόνος, κατάλυσις· (χάλασμα, ἀφανισμός, σκοτωμὸς καὶ ἀπὸ τὰ δύω μέρη) Πλτ. Πρωταγ.

Ἀλληλοφθόρος, ὁ, ἡ· (φθείρω) ἀμοιβαίως φθείρων· κατὰ πληθυντ. ἀριθμ. ἐν χρήσει μόνον· ἀλλήλους φθείροντες (ὅσοι φθείρονται ἀναμεταξύ των, ὁ ἕνας μὲ τὸν ἄλλον).

Ἀλληλοφίλος, ὁ, ἡ· (φιλέω) ἀμοιβαίως φιλῶν πληθυντ. μόνον χρήσιμον· ἀλλήλους φιλοῦντες (ὅσοι ἀγαποῦνται, εἶναι φίλοι ἀναμεταξύ τους)· (ι).

Ἀλληλοφονία, ἡ· ἀμοιβαῖος φόνος (σκοτωμὸς καὶ ἀπὸ τὰ δύω μέρη) Πνδ. Ὀλ. Β. 73.

Ἀλληλοφόνος, ὁ, ἡ· (φονεύω) ἀμοιβαίως φονεύων· πληθυντικῶς μόνον ἐν χρήσει· ἀλλήλων φονεῖς, ἀλλήλους φονεύοντες (ὅσοι σκοτώνονται ἀναμεταξύ τους, ὁ ἕνας μὲ τὸν ἄλλον)· «τυράννοισιν ἀλληλοφόνους γεγενημένους«· Ξνφ. Ἱερ. Γ. 8.

Ἀλληλοφόντης, ου, ὁ· = ἀλληλοφόνος. πληθυντικῶς μόνον.

Ἀλληλοφυής, ὁ, ἡ· (φύω) πληθυντ. μόνον χρήσιμον· ἀμοιβαίως φυόμενος, γεννώμενοι (ὅσοι γίνονται, γεννοῦνται ἀναμεταξύ των, ὁ ἕνας ἀπὸ τὸν ἄλλον)· Πλτχ.

Ἀλλήλων· γενκ. πληθυντ. οὗ ὁ ἑνικὸς ἀριθμὸς καὶ ἡ ὀνομαστικὴ ἀνεγχώρητος διὰ τὴν σημασίαν τῆς λέξεως· δοτ. ἀλλήλοις, αις, οις, αἰτιατ. ἀλλήλους, ας, α· (ἴσως ἀπὸ τοῦ ἄλλος· Basi. Greg. σλ. 519.) εἷς τοῦ ἄλλου· τῷ ἄλλῳ, τὸν ἄλλον κτλ. (ἕνας ἀπὸ τὸν ἄλλον, μὲ τὸν ἄλλον, 'ς τὸν ἄλλον· κτλ.) ὅθεν μεταξύ, ἀναμεταξύ των (ἀνάμεσά τους)· δήλωσις τῆς ἀμοιβαίας τῶν τριῶν προσώπων ἐνεργείας· Ἰλδ. Δ. 62. Ε. 874. Ὀδσ. Α. 209. Ἀσυνήθως ἀντὶ τοῦ, ἕτερος (ἕνας ἀπὸ τοὺς δύω) ἐν Ὀδσ. Μ. 102. «τὸν δ' ἕτερον σκόπελον χθαμαλώτερον ὄψει, Ὀδυσσεῦ, πλησίον ἀλλήλων·« ἀντὶ πληθ. τοῦ ἑτέρου. «Ὁ δι' ἀλλήλων τρόπος«· κυκλικὸν σχῆμα ἐν λογικοῖς συλλογισμοῖς, ἐν ᾧ, τὸ ἀποδεδειγμένον πρῶτον, λαμβάνεται εἰς ἀπόδειξιν τοῦ δευτέρου. Ἐκ τοῦ δυϊκοῦ ἀριθμ. χρῆται Ὁμ. τῇ δοτ. ἀλλήλοιϊν, ἀντὶ ἀλλήλοιν, ἴσως καὶ ἀντὶ γενκ. Ἰλδ. Κ. 65. «αὖθι μένειν, μή πως ἀβροτάξομεν ἀλλήλοιϊν ἐρχομένω« παρὰ Πεζογράφοις δὲ σπανία ἐστὶ τοῦ δυϊκοῦ ἀριθμ. ἡ χρῆσις.

Ἀλλήλως· Ἐπίρρ. ἀμοιβαίως, ἀμοιβάδην, ἀμοιβαδίς, ἀμοιβαδόν· (ἀναμεταξύ των, ἀνάμεσά των, ἀλλαχτά, καὶ ἀπὸ τὰ δύω μέρη).

Ἄλλην· αἰτιατ. πτῶσις τοῦ ἄλλη· ἐπιρρηματικῶς σημαίνει τό, ἄλλοσε (εἰς ἄλλο μέρος, εἰς ἄλλον τόπον) ἀναπληροῦται δὲ συνήθως διὰ τοῦ, ἐπ' ἄλλην ὁδόν «ἐπ' ἄλλην καὶ ἄλλην« νῦν μὲν ἐνθάδε νῦν δ' ἐκεῖσε· ἔνθεν κἀκεῖθεν· (πότε 'ς ἕνα μέρος πότε 'ς ἄλλο· πότ' ἐδῶ καὶ πότ' ἐκεῖ)· «ἄλλην καὶ ἄλλην ἀποβλέποντες εἰς ἡμέρα«· Πλάτ.

Ἀλληνάλλως· Ἐπίρρ. ὡς ἔτυχε· Σουΐδ.

Ἄλληξ, ηκος, ἡ· καὶ

Ἄλλιξ, ικος, ἡ· ἱμάτιον, χλαῖνα παρὰ Θετταλοῖς· (πανωφόρεμα ἐνδρόμιο) «ἄλλικα χρυσείῃσιν ἐεργομένην ἐνέτῃσι« Καλλμχ. Αψ. 149. Εὐφορ. Αψ. 112. καθ' Ἡσύχ. χιτὼν χειριδωτός· χλαμὺς πορφυρᾶ· χλαμὺς ἀλληλόχειρος· (φόρεμα μὲ μανίκια· φόρεμα κόκκινον καὶ κοντὸν ἕως 'ς τὸ ζωνάρι, τὸ τουρκοβλάχ. πετλί)· παράγεται δὲ πιθανῶς ἀπὸ τοῦ ἀλλάσσω.

Ἄλλιστος, ὁ, ἡ· (λίσσομαι) ἀλιτάνευτος, ἄκαμπτος, ἀπαραίτητος· (ἀκαταπράϋντος, ἀλύγιστος· ὅστις δὲν καταπραΰνεται μὲ παρακαλέματα)· «ὦ ἄλλιστ' Ἀΐδη« Κρινηγόρ. Επιγρ.

Ἀλλιτάνευτος, ὁ, ἡ· ἰδὲ ἀλιτάνευτος.

Ἀλλογενής, ὁ, ἡ· (γένος) ἐξ ἄλλου γένους, ἢ ἔθνους· (ὅστις εἶναι ἀπὸ ἄλλο γένος, ἀπὸ ξένον ἔθνος).

Ἀλλογλωσσία, ἡ· ξένη γλῶσσα· γλώσσης διαφορά· Ἰώσπ. ἀρχ. α΄, 5.

Ἀλλόγλωσσος, ὁ, ἡ· (γλῶσσα) ξένην, ἢ ἄλλην γλῶσσαν λαλῶν· ξένος· (ὅστις ὁμιλεῖ ξένην ἢ ἄλλην παρὰ τὴν ἐδικήν μας γλῶσσαν)· Ἡρόδ. Β. 154. «πρῶτοι γὰρ οὗτοι ἐν Αἰγύπτῳ ἀλλόγλωσσοι κατοικίσθησαν.«

Ἀλλογνοέω· Μλ. ήσω· (νοέω) ἄλλον ἀντὶ τοῦ ἀληθῶς ὄντος γιγνώσκω· ἄλλον ἀντ' ἄλλου ἡγοῦμαι· οὐκ ὀρθῶς κρίνω, οὐ κατὰ τὸ ὂν δέχομαι· σφάλλομαι τῆς περί τινος κρίσεως· (ἀλλοιώτικον γνωρίζω ἀπὸ τοῦ ὅ,τι εἶναι· ἄλλο ἀντὶς δὲ ἄλλο νομίζω· παραγνωρίζω, σχημνὰ ἢ σφαλμένα γνωρίζω): ἀλλογνώσας Ἰωνκ. ἀντί, ἀλλογνοήσας· Ἡρόδ. 1, 85. 2) παρὰ τοῖς μεταγενεστ. δέ, παραφρονῶ· (δὲν εἶμαι 'ς τὰς φρένας μου)· Γαλην. Γλωσσαρ.

Ἀλλόγνως, ωτος, ὁ, ἡ· = ἀλλόγνωτος· Ἐμπδ. «ἀλλόγνωτι χιτῶνι.«

Ἀλλόγνωτος, ὁ, ἡ· (γιγνώσκω) ἄλλοις γνωστός, ὅθεν ἡμῖν ἄγνωστος· ξένος· (εἰς ἄλλους γνώριμος· εἰς ἡμᾶς ἀγνώριστος)· «. . . ὄδ' ὤλετο τηλόθι πάτρης διογενὴς Ὀδυσσεὺς ἀλλογνώτῳ ἐνὶ δήμῳ«· Ὀδσ. Β. 366. ὁ δ' Εὐσταθ. ἐξηγεῖ τὴν λέξιν, πολέμιος, ξένος, ἄλλα γινώσκων ἤπερ ἡμεῖς.

Ἀλλοδαπής, ὁ, ἡ· νεώτερος τύπος ἀντὶ τοῦ

Ἀλλοδαπός, ή, όν· ξένος, ἐκ ξένης χώρας, ἀλλοεθνής· (ἀπὸ ξένον τόπον, ἀπὸ ξένον ἔθνος ἢ γένος)· «μιχθεὶς ἀλλοδαποῖσι, γυναῖκ' εὐειδέ' ἀνήγαγες«· Ἰλδ. Γ. 48. (κατὰ τὸ σχῆμα ἐστὶν ἡ λέξις εἴτε παρατεταμένη ἀπὸ τὸ ἄλλος ἁπλῶς, ὡς ἡ ποδαπός, ἡμεδαπός· εἴτε σύνθετος τῇ, ἔδαφος· ἰδὲ ποδαπός. Ὁ δὲ Βτμ. Λξ. 1. σλ. 135. ἀποδέχεται ἀρχαίαν τινὰ ἀναστροφήν, (ἄλλου ἄπο).

Ἀλλόδημα· Ἐπίρρ. = ἀπόδημα· μακρὰν τῆς πατρίδος, ἐν ξένῃ χώρᾳ (μακρυὰ ἀπὸ τὴν πατρίδα, 'ς τὰ ξένα) Ἡσύχ. καὶ Πολυδ.

Ἀλλοδημία, ἡ· (δῆμος) Ἰωνικ. ἀντὶ, ἀποδημία· ἐν ξένῃ χώρᾳ διατριβὴ (ξενιτεία, ξενίτευμα)· Ἰάμβλ. 257. «ἐν ἀλλοδημίᾳ» ἀντὶ ἐν ἄλλῳ δήμῳ· Πλατ. Νμ. 12. σελ. 954. Ε.

Ἀλλοδοξέω· Μλ. ήσω· (δόξα) = ἑτεροδοξέω· ἄλλα φρονῶ, ἐξαιρ. ἁμαρτάνω τῆς γνώμης· (ἀλλοιότικην γνώμην ἔχω· ἀλλοιῶς στοχάζομαι· μάλιστα, ἡ γνώμη μου εἶναι σφαλμένη, δὲν ἔχει τὸν τόπον της)· «παρέσχε γάρ, ὡς φῂς, τὸ τὰ ψευδῆ δοξάζειν, ἀλλοδοξεῖν εἶναι»· Πλτ. Θεαίτ. παράβαλε, ἀλλοφρονέω.

Ἀλλοδοξία, ἡ· ἀλλοία, ἡ ἐσφαλμένη, ψευδὴς δόξα· (διαφορετική, ἡ πλανεμένη, ψεύτικη γνώμη)· «ἀλλοδοξίαν τινὰ οὖσαν, ψευδῆ φαμὲν εἶναι δόξαν, ὅταν τίς τι τῶν ὄντων, ἄλλο αὖ τῶν ὄντων ἀνταλλαξάμενος, τῇ διανοίᾳ φῇ εἶναι»· Πλάτ. Θεαίτ.

Ἀλλοεθνής, ὁ, ἡ· (ἔθνος) ἐκ ξένου ἔθνους· (ὅστις εἶναι ἀπὸ ξένον λαὸν, ἀπὸ ξένην φυλήν· ἀλλόφυλος)· ἀπὸ τοῦ

Ἀλλοεθνία, ἡ· ἔθνους διαφορὰ (διαφορετικὸν ἔθνος, ἀλλοιότικη φυλή)· Στρβ. ΙΒ΄.

Ἀλλοειδής, ὁ, ἡ· (εἶδος) ἀλλοῖος τὸ εἶδος, (ὅστις εἶναι ἀπὸ ἀλλοιότικον, διαφορετικὸν εἶδος)· «τοὔνεκ' ἄρ' ἀλλοειδέα φαινέσκετο πάντα ἄνακτι»· Ὀδσ. Ν. 194. (ἔνθα τὸ ἀλλοειδέα ἀντὶ τρισυλλάβου καὶ ὡς Μολοσσὸς, ‒‒‒, στίχου ποὺς κεῖται)· ἀλλοειδῶς· ἐπίρρ. Διογν. Λαέρτ.

Ἀλλοθ', κατὰ ἔλλειψιν, παρ' Ὁμ. ἀεὶ· ἀπὸ τοῦ, ἄλλοθι.

Ἀλλοθα· Δωρκ. καὶ Αἰολ. ἀντὶ ἄλλοθεν — ἀπεδοκιμάσθη ὑπὸ τοῦ Ἀπολλ. Δυσκόλου, ὡς ἄκυρος λέξις.

Ἀλλοθεν· Ἐπίρρ. κινήσεως σημαντικόν· (ἄλλος) ἐξ ἄλλης ἢ ξένης χώρας, γῆς, ἐξ ἄλλου μέρους ἢ τόπου· (ἀπὸ ἄλλον τόπον, ἀπ' ἄλλο μέρος) ὁ Ὁμ. συντάττει τὴν λέξιν ἐπὶ τὸ πλεῖστον μετὰ τοῦ, ἄλλος, «φοίτων ἄλλοθεν ἄλλος»· Ὀδσ. Ι. 401. «προσεξεόντες δ' ἄλλος ἄλλοθεν φίλων»· Εὐρπ. Φοιν. 1263. «κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν ἐκ τῶν ἀνθρώπων»· Ὀδσ. Γ. 318. Ἀλλοθέν ποθεν· ἐξ ἄλλου τινὸς μέρους ἢ τόπου· (ἀπ' ἄλλο κἀνένα μέρος, ἀπ' ἄλλον κἀνένα τόπον).

Ἀλλοθι· Ἐπίρρ. στάσεως σημαντικόν· ἐν ἄλλῃ ἢ ξένῃ χώρᾳ, ἐν ἄλλῳ μέρει ἢ τόπῳ (εἰς ἄλλο μέρος εἰς ἄλλον τόπον) παρ' Ὁμ. καὶ Ἡρδτ. ἐνίοτε μετὰ γενικ. ἄλλοθι γαίης· ἐν ἄλλῃ χώρᾳ· ἄλλοθι πάτρης· οὐκ ἐν τῇ πατρίδι, τουτέστι μακρὰν τῆς πατρίδος, Ὀδσ. Β. 131. Γ. 318. ἄλλοθι οὐδαμοῦ, (εἰς κἀνένα ἄλλο μέρος, κἀμμοθενὰ ἀλλοῦ)· παρὰ Πλάτ. δὲ, = ἐν ἄλλοις.

Ἀλλόθροος, ὁ, ἡ· καὶ συναιρ. ἀλλόθρους· ὁ, ἡ, ουν, τό· (θρόος)· ἄλλην, ἢ ξένην γλῶσσαν λαλῶν (ὅστις ὁμιλεῖ ἄλλην, ἢ ξένην γλῶσσαν)· «Τελμησσέες μέντοι τάδε ἔγνωσαν, στρατὸν ἀλλόθροον προσδόκιμα εἶναι Κροίσῳ ἐπὶ τὴν χώραν»· Ἡρδτ. 1, 78. καὶ 3. 11. καὶ, «... μεμφόμενοι τῷ Φάνῃ, ὅτι στρατὸν ἤγαγε ἐπ' Αἴγυπτον ἀλλόθροον...» καὶ Ὀδσ. Α. 183. «ἐπ' ἀλλοθρόους ἀνθρώπους»· ὅθεν κυρίως ξένος, ἄλλως φθεγγόμενος· ἑτερότροπος, τρόπου ἀλλοτρίου· Σφκ. καὶ Αἰσχλ. ἀλλόθ. γνώμα.

Ἀλλοινία, ἡ· (οἶνος) τὸ ποικίλον, τουτέστιν ἄλλοτε ἄλλον πίνειν οἶνον ἐπὶ τραπέζης· (τὸ νὰ ἀλλάζῃ τις τὸ κρασὶ εἰς τὴν τράπεζαν πίνοντας πότε ἀπὸ ἕνα καὶ πότε ἀπὸ ἄλλο· ἀλλαξοκρασιά)· «καὶ γὰρ ἀλλοινίαι λεγόμεναι τάχιστα μεθύσκουσι»· Πλτχ. Συμπ.

Ἀλλοιοειδής, ὁ, ἡ· (ἀλλοῖος, εἶδος) ἀλλοῖον εἶδος ἔχων (ἀλλοιότικος) Σχλ. Νικ.

Ἀλλοιόθετος, ὁ, ἡ· (ἀλλοῖος, τίθημι) ἀλλοίαν, ἢ διάφορον θέσιν ἔχων· (διαφορετικὰ, ἢ ἀλλοιότικα βαλμένος).

Ἀλλοιόμορφος, ὁ, ἡ· (μορφὴ) ἀλλοίαν, ἢ διάφορον μορφὴν ἔχων· ἄλλως μεμορφωμένος· (ὅστις ἔχει διαφορετικὸν, ἢ ἀλλοιότικον σχῆμα ἢ πρόσωπον).

Ἀλλοῖος, οία, οῖον· (ἄλλος) κατ' ἄλλον τρόπον ὤν, ἄλλως ἔχων, διάφορος τὴν μορφὴν, τὸ σχῆμα, τὸ εἶδος· καὶ τ. τ. ἀεὶ κατὰ παραβολικὸν σημασίαν· (ἀλλοιότικος, διαφορετικός)· Ἰλδ. Δ. 258. «ἠμὲν ἐνὶ πτολέμῳ, ἠδ' ἀλλοίῳ ἐπὶ ἔργῳ» Ὀδσ. Π. «ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον, ἠὲ πάροιθεν» Τ. 265. «καὶ γάρ τίς τ' ἀλλοῖον ὀδύρεται ἄνδρ' ὀλέσασα κουρίδιον» Ἡρδτ. 2. 35. «... φύσιν ἀλλοίην παρεχομένῳ, ἢ οἱ ἄλλοι ποταμοί ...» ἄλλοτε ἀλλοῖαι· Πνδ. Ἄλλοτε ἀλλοῖος, ἑκάστοτε διάφορος, (κάθε φορὰν ἀλλοιότικος, πότε ἔτζι, καὶ πότε ἔτζι, κάθε φορὰν διαφορετικός), Ξεν. ἀλλοῖόν τι· διάφορον τοῦ ὅ,τι ἐδείξεν εἶναι· ἀναφέρεται δὲ ἡ ἔννοια τῆς λέξεως εἰς κακὸν, καὶ τίθεται κατ' εὐφημίαν ἀντὶ τοῦ, κακόν τι «... ἵνα μή τι ἀλλοῖον περὶ σεῦ οἱ Σπαρτιῆται βουλεύσωνται» Ἡρδτ. 5, 40. Συγκρτ. ἀλλοιότερος Ἡρδτ. 7, 212. «ὡς δὲ οὐδὲν εὕρισκον ἀλλοιότερον οἱ Πέρσαι ἢ τῇ προτεραίῃ ἐνώρων, ἀπήλαυνον» καὶ Θκδ. Δ΄. «οἱ δὲ πολλοὶ ἀκούσαντες ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας» ἀλλοιότερον, ἐπιρρηματικῶς, Ξεν.

Ἀλλοιόστροφος, ὁ, ἡ· (στροφὴ) ἀλλοίας καὶ διαφόρους στροφὰς ἔχων· Σχλστ. Ἀριστφ. Βάτρ. 1295.

Ἀλλοιόσχημος, ὁ, ἡ· καὶ

Ἀλλοιοσχήμων, ὁ, ἡ, ον, τό· γενικ. ονος (σχῆμα) μεταβεβλημένον ἢ διάφορον σχῆμα ἔχων· Σέξ. Μαθμτ. Ζ΄. 206.

Ἀλλοιότερον· Ἐπίρρ. συγκριτικὸν, ἀπὸ τοῦ ἀλλοῖος· μᾶλλον διαφερόντως (πολὺ ἀλλοιότικα)· Ξεν.

Ἀλλοιότης, ητος, ἡ· (ἀλλοῖος) διαφορὰ, ἀνομοιότης· Ἱππκρ.

Ἀλλοιοτροπέω· Μλ. ήσω· = ἀλλοτροπέω· ἀμφιβάλλεται· ἀπὸ τοῦ

Ἀλλοιότροπος, ὁ, ἡ· = ἀλλότροπος· ἀμφβ.

Ἀλλοιόχροος, ὁ, ἡ· καὶ συνρτ. ἀλλοιόχρους, ὁ, ἡ, ουν, τό· (χρόα) μεταβεβλημένου ἢ διαφόρου χρώματος· (ὅστις ἄλλαξε, ἢ ἔχει διαφορετικὸν χρῶμα, βαφήν)· Σέξ.

Ἀλλοιόω· Μλ. ώσω· (ἀλλοῖος) μεταβάλλω, μεταλλάττω, μεταποιῶ (μεταβάλλω, ἀλλάζω, κάμνω ἀλλοιῶς): ἀλλοιῶ τινα· μεταπείθω· [ἐπ' ἀνθρώπων] μεθαρμόζω [ἐπὶ πραγμάτων] (ἀλλάζω τὴν γνώμην τινος· κάμνω τίποτε ἀλλοιότικον). Παθητ. ἀλλοιοῦμαι, τὴν γνώμην καὶ τῇ γνώμῃ· (ἀλλάζω τὴν γνώμην, τὸν σκοπόν μου). Ἐπὶ πραγμάτων δὲ, μεταβάλλομαι, ἀλλοῖος γίνομαι· «ἥκιστα ἀλλοιοῦταί τε καὶ κινεῖται» Πλτ. Πολτ. Β΄.

Ἀλλοιώδης, ὁ, ἡ· (εἶδος) διαφέρου εἴδους ὢν· τὸ εἶδος διαφόρως μεταβάλλων· μεταβλητὸς, εὐμετάβλητος· (ὅστις ἔχει διαφορετικὸν εἶδος, ἢ ἀλλάζει διαφορετικὰ καὶ εὔκολα τὸ εἶδος του).

Ἀλλοίωμα, τό· = τῷ ἑξῆς.

Ἀλλοίωσις, εως, ἡ· μεταβολὴ, ἀλλαγὴ, μεταλλαγὴ, μετάλλαξις· (ἄλλαγμα, μετάβαλμα)· «πολλοὶ δὲ διὰ τὴν πρὸς τὸν οἶνον ἐπιθυμίαν οὐδ' ὑπνῶσαι δύνανται χωρὶς ἀλλοιώσεως καὶ μέθης» Πολύβ. ἐξαιρέτως δὲ, μεταβολὴ γνώμης, μετάνοια (μετανοιωμα).

Ἀλλοιωτικός, ἡ, όν· εἰς ἀλλοίωσιν ἀνήκων, ἢ ἐπιτήδειος (ὅστις εἶναι ἐπιτήδειος νὰ κάμνῃ μεταβολὴν, νὰ κάμνῃ τίποτε ἀλλοιότικον).

Ἀλλοιωτός, ἡ, όν· μεταβλητὸς, εὐμετάβλητος (ὅστις μεταβάλλεται, γίνεται ἀλλοιότικος, ἀλλάζει εὔκολα, τὸν ὁποῖον ἠμπορεῖ νὰ μεταβάλλῃ, ἀλλάζῃ τις εὔκολα)· τὸ ἀλλοιωτόν, εὐμεταβλησία· (εὐκολία νὰ ἀλλάζῃ νὰ γίνεται, ἢ νὰ κάμνῃ τίποτε ἀλλοιότικον).

Ἄλλοκα· Δωρκ. καὶ Αἰολ. ἀντὶ ἄλλοτε· «Χ' ὦ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει» Θεοκρ. Εἰδ. Δ΄.

Ἀλλόκοτος, ὁ, ἡ· ἀλλοῖος, διάφορος τοῦ συνήθους τρόπου, γένους, σχήματος, εἴδους· τῆς συνήθους μορφῆς, ποιότητος· (διαφορετικὸς, ἀλλοιότικος ἀπὸ τὸ συνηθισμένον), ὅθεν θαυμάσιος, τερατικὸς, τεράστιος, ἄτοπος, θαυμαστὸς, τρόπου ἀλλοτρίου, παρὰ φύσιν, (παράξενος, ἀφύσικος, ἀσυνήθιστος)· «οἱ μὲν γάρ που διὰ πνεύματα παντοῖα καὶ διελήσεις, ἀλλόκοτοί τε εἰσὶ καὶ ἀναίσιοι» Πλτ. Νμ. Ε΄. «ἀλλόκοτος καὶ ἄγροικος» Πλούτχ. Ἔτι δὲ, παρηλλαγμένος, μετασχηματισμένος, μεταμεμορφωμένος. Τιμαῖος, ὑπὸ Ruhnk. σλ. 24. Ἱπποκρ. Γαλη. γλωσσά· Σφκλ. Φιλ. 1191. «ἀλλόκοτος γνώμη» (Τινὲς μὲν ἐθέλουσι τὴν λέξιν σύνθετον ἐκ τοῦ, κότος· ὀργὴν, ἦθος ἐνταῦθα σημαίνειν λέγοντες· «Ἀλλόκοτον σημαίνει μὲν τὸ παρηλλαγμένον τῆς καθεστώσης διαίτης καὶ τρόπου· πεποίηται δὲ παρὰ τὸν κότον, ὃ σημαίνει τὴν ὀργὴν καὶ μανίαν, καὶ παραπληξίαν· ὁ οὖν ἄλλοτε ἄλλοις κοτῶν, ἀλλόκοτος ἂν καλοῖτο» Φρύνχ. προπαρσκ. Σοφστ. ἄλλοι δὲ ὀρθότερον κρίνουσι τὸν σχηματισμὸν αὐτῆς καθ' ὑπερβιβασμὸν, ἀντὶ, ἀλλότοκος)· Ἐπίρρ. ἀλλοκότως.

Ἄλλομαι· Μλ. οῦμαι· ἀόρστ. α΄. ἡλάμην· Ἀπρμφτ. ἅλασθαι· (ἡ ἀρχικὴ συλλαβὴ ἔστι μακρὰ καὶ ἐν τοῖς ἀναυξήτοις χρόνοις)· Ἀόρστ. β΄. ἡλόμην· Ἀπρμφτ. ἁλέσθαι· (Ὁ δ' Ἑρμᾶνος ἀποδοκιμάζει, παρὰ Σφκ. Οἰδ. Τ. 1131. «ἰὼ δαῖμον, ἵν' ἐξήλου;» τὸν ὁριστικ. ἀόρστ. β΄. ἀποδεχόμενος μόνον τὸν εὐκτικ. ὑποτακτ. ἀπαρμφ. καὶ τὸν μετοχικόν). Ἔστι δὲ τὸ ῥῆμα μέσ. ἀποθτ. Σκιρτῶ, πηδῶ, ὀρχοῦμαι, (χορεύω)· «καὶ ἔλαφοι ἥλοντο πρὸς οὐρανόν» Ξεν. Κπ. Α. 4. Ὁ Ὁμ. χρῆται μόνον τῷ κατὰ συγκτ. ἀόρστ. ἐν τῷ β΄ καὶ γ΄. προσώπῳ, ἆλσο, ἆλτο· Μετχ. ἅλμενος, ἐν συνθέσει μόνον, ὑποτακτ. ἅληται καὶ ἆλεται: ἐπὶ πασησδήποτε ταχείας κινήσεως· ἆλτο ὀϊστός, Ἰλδ. Δ. 125. «ἠμὲν ἔπειτα εἰς ἅλα ἆλτο βαθεῖαν ἀπ' αἰγλήεντος Ὀλύμπου» Α. 532. προσθέω, θυμῷ φέρομαι, ἐπίτινα, ἐπιφέρομαι, ἐπιτρέχω τινί· (τρέχω ὁρμητικὰ, ὁρμῶ, τρέχω καὶ πετάχνομαι ἐπάνω εἰς τινα, πέφτω κατεπάνω του)· «ἣ καὶ ἐπὶ στίχας ἆλτο» Ἰλδ. Τ. 353. «Πηλείδης δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ, ἆλτ' ἐπί οἱ μεμαώς» Φ. 174: ἅλλεται ὀφθαλμὸς, τὸ παρ' ἡμῖν κοινότερον, χτυπάει, παίζει τὸ μμάτι μου· Θεοκρ. «ὀφρὺς δεξιὰ ἅλλεται» Μέλαμ. παραβλ. ἅλμα.

Ἀλλόμορφος, ὁ, ἡ· (μορφὴ) ἀλλοίαν, διάφορον, ξένην μορφὴν ἔχων· (ὅστις ἔχει ἀλλοιότικην, διαφορετικὴν, παράξενην ὄψιν,

θεωρίαν)· »ἀλλόμορφα τέρατα« Ἱππ. Ἐνύπ. 7, 8.

Ἀλλοπάθεια, ἡ· τὸ πάσχειν τι ὑπ' ἄλλου τινὸς προερχόμενον (τὸ νὰ πάσχῃ τις τίποτε, τὸ ὁποῖον προέρχεται ἀπὸ ἄλλου, ἢ τὸ ὁποῖον προξενεῖ ἄλλος εἰς αὐτόν)· ἀπὸ τοῦ

Ἀλλοπαθής, ὁ, ἡ· (πάσχω, παθεῖν) ἄλλου δυνάμει, ἢ ὑπ' ἄλλου προερχόμενόν τι πάσχων· (ὅστις πάσχει, παθαίνει, ἢ ὑποφέρει τίποτε, τὸ ὁποῖον προξενεῖ, κάμνει, ἢ ἐνεργεῖ εἰς αὐτὸν ἄλλος). Παρὰ τοῖς γραμματικογράφοις δὲ λέγεται ῥῆμα ἀλλοπαθὲς τὸ μεταβατικόν· ἰδὲ αὐτοπαθής.

Ἀλλίπους· σφαλμ. ἀνάγν. παρὰ Σοφ. Οἰδ. Τ. 467. ἀντὶ ἀελλόπους.

Ἀλλοπρόσαλλος, ὁ· τοῦτ' ἔστιν, ἄλλοτε πρὸς ἄλλον· ἀπ' ἄλλου πρὸς ἄλλον, ὁτὲ μὲν ἔνθα, ὁτὲ δ' ἔνθα τρεπόμενος· τὸν μὲν ἄλλῳ, τὸν δ' ἄλλῳ συμπράττων· (ὅστις τρέχει πότε εἰς ἕνα καὶ πότε εἰς ἄλλον· πότε παίρνει τοῦ ἑνὸς καὶ πότε τοῦ ἄλλου τὸ μέρος· πότε τὸν ἕνα, καὶ πότε τὸν ἄλλον πιάνει φίλον καὶ δὲν μένει πιστὸς εἰς κανένα). Ἐπίθετον τοῦ Ἄρεος· »Ἄρηα τοῦτον, μαινόμενον, τυκτὸν κακόν, ἀλλοπρόσαλλον« Ἰλ. Ε. 831. καὶ 889. »μή τι μοι, ἀλλοπρόσαλλε, παρεζόμενος μινύριζε.«

Ἄλλος, ἄλλη, ἄλλο· (ἐπὶ τὸ πλεῖστον ἐν χρήσει ἄλλος τις, καὶ παρ' Ὁμ. τις ἄλλος »Οὐδὲ γὰρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ' ἀνέτλη« Ὀδ. Κ. 327. καὶ Λ. 557. »οὐδέ τις ἄλλος αἴτιος, ἀλλὰ Ζεύς...« Ἔτι δὲ ἡ σημασία αὐτοῦ ὅλως παραβολική, καὶ ἐν τελείᾳ συγκρίσει ἐπιφέρεται αὐτῷ ὁ διαζευκτικὸς ἤ· πολλάκις δὲ καὶ ἡ γενική· ἄλλος, ἐμοῦ, σοῦ κτλ. Γρηγ. Κορινθ. ὑπὸ Schaef. σελ. 582. σπανιώτερον ὁ ἀλλά, καὶ μόνον ὅταν τῷ ἄλλος προτεθῇ καὶ ἀρνητικόν τι· »Ἄλλος δ' οὔτις μοι τόσον αἴτιος Οὐρανιώνων, ἀλλὰ φίλη μήτηρ...« Ἰλ. Φ. 275. »ἀτὰρ οὔτι μοι αἴτιος ἄλλος, ἀλλὰ τοκῆε δύω« Ὀδ. Θ. 311. καὶ Λ. 557. ὡσαύτως καὶ τὸ εἰ μή. »Τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν ἄλλον γ', εἰ μὴ τῶν, οἳ δημιοεργοὶ ἔασιν« Ὀδ. Ρ. 383. »οὐδέ τις ἄλλος αἴτιος ἀθανάτων, εἰ μὴ νεφεληγερέτα Ζεύς..« Ὁμ. Ὕμ. Δημ. 78. Ἔτι δὲ καὶ ἡ ἀντί· »καὶ τοῦ σύ γ' αὐτός, κ' αἴτιος ἄλλος ἀντὶ σοῦ...« Σοφ. Οἰδ. Κ. 448: καὶ τὸ πλήν, »ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο, πλὴν εἴδωλ'..« Αἰ. 125. »ἐὰν τις ἄλλο πλὴν περὶ εἰρήνης λέγῃ« Εὐρ. 39. Πολλάκις δὲ συντάττεται καὶ οὐσιαστικῶς μετὰ γενκ. ἄλλος Θεῶν, ἄλλος ἀθανάτων· Ὁμ. Ἐκ τῆς σημασίας ἄλλος ἤ, προκύπτει τό, διάφορος· ἄλλα δεκαίων· μετριώτερον ἀντὶ ἀδέκα· Ξεν. καθ' ἣν σημασίαν πολλάκις κεῖται τὸ ἄλλος, ὥστε τίθεται καὶ ἀπολύτως ἀντὶ τοῦ κακός (ἄλλος, ἢ ἀγαθός)· »... οὐκ ἂν ἔγωγε ἄλλα παρὲξ εἴποιμι παρακλιδόν, οὐδ' ἀπατήσω« Ὀδ. Δ. 348. καὶ Ρ. 139. 2) ἄλλος = ἕτερος· ἐπαναλαμβανόμενον ἐπὶ τὸ πλεῖστον παρὰ Λογογράφοις μὲν ἐναρθρως, παρ' Ὁμ. δὲ συνήθως ἄλλος μέν, ἄλλος δέ· ἔτι δὲ καί, τὰ μὲν — ἄλλα δὲ »Φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη τηλεθόωσα φύει...« Ἰλ. Ζ. 147: σπανιώτερον, ἕτερος — ἄλλος· »ἀξίστωσαντα ζυγὰ ἠλασυνέτην, τότ' ἄλλος, ἄλλοθ' ἕτερος κάρα προβάλλων ἱππικῶν ὀχημάτων« Σοφ. Ἠλ. 739. καὶ Θεοκρ. 6, 45. »νίκη μὲν οὐδ' ἄλλος, ἀνάσσατοι δ' ἐγένοντο« 3) οἱ ἄλλοι, τὰ ἄλλα καὶ συναλρ. τἄλλα κατὰ Βόλφιον· Wolf. Anal. 2, σελ. 431. κατὰ Gottling. δέ, Θεοδοσ. γραμμ. 1, σελ. 116. 2, σελ. 191. τἆλλα· παρ' Ὁμήρῳ δέ, οἱ ἄλλοι = οἱ ἐχ'ροίτιοι· Ε) ὁ ἄλλος, = ὁ πλειόνων ἔσχατος· Πλάτ. Νμ. 8, 4. σελ. 843. Β. ὑπὸ Art. καὶ Sturz. Lex. Ξεν. 1, σελ. 133. 4) = ἀλλότριος· »Ὁππότε κεν δήμου ξυμβλήμενος ἄλλος ὁδίτης φήῃ...« Ὀδ. Ψ. 374. ἀντιθέτως τῷ, πολίτης· »οὐδ' εἴ τις ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς τὸν αὐτόχειρα, μὴ σιωπάτω« Σοφ. Οἰδ. Τ. 230. 5) πλεοναστικῶς δῆθεν »μήτηρ οὔτε πέπυσται, οὐδ' ἄλλαι δμωαί« Ὀδ. Β. 412. ὅπου τὸ ἄλλαι χρησιμεύει εἰς ἐμφατικωτέραν ἔκφρασιν τῆς ἀντιθέσεως τῶν δμωῶν πρὸς τὴν δέσποιναν, καὶ εἰς ῥητὴν δήλωσιν τῆς Πηνελόπης καὶ τῶν ἄλλων, ἤτοι τῶν δμωῶν· ὡσαύτως καὶ »Πὰρ δ' αὐτὸς κλισμὸν θέτο ποικίλον, ἔκτοθεν ἄλλων μνηστήρων..« Ὀδ. Α. 132. καὶ »ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι« Ζ. 84. καὶ »αὐτὰρ οἱ ἄλλοι σκηπτοῦχοι βασιλεῖς...« Θ. 40. καὶ »...ὑψηλῶν ὀρέων, ὅτε φαίνεται οἶον ἀπ' ἄλλων« Ι. 193. »μήτηρ, ἠδὲ πατρίς, ἠδ' ἄλλοι πάντες ἑταῖροι« καὶ Ι. 367. Καὶ παρὰ τοῖς Ἀττ. »ἁγὼ δικαιῶν μὴ παρ' ἀγγέλων, τέκνα, ἄλλων ἀκούειν, αὐτὸς ὧδ' ἐλήλυθα...« Σοφ. Οἰδ. Τ. 7. καὶ Πλάτ. Γοργ. σελ. 473. D. ὑπὸ Heind: Πολλάκις δὲ καὶ κατὰ γενικὴν σημασίαν τοῦ, πρὸς τούτοις, καὶ ἅμα, πρὸς δέ, ἰδοὺ· »Ἰοῦ, ἰοῦ· καὶ ταῦτά γ' ἄλλα θάλπεται ῥάκη, βαρείας του νοσηλείας πλέα« Σοφ. Φιλ. 38. ὅπου τό, ἄλλα ῥάκη, κεῖται προσθετικῶς τῷ, ἔκπωμα καὶ πυρεῖ'· γ) τῷ, ἄλλος εὕρηται πολλάκις συγκριτικὸν ἐπιρρήματον· τό, ἀμείνων, καὶ χερείων· »...πὰρ δ' ὄχεσφιν ἄλλον, Κεβριόναο χερείονα, κάλλιπεν Ἕκτωρ« Ἰλ. Μ. 92. καὶ 232. »οἶσθα καὶ ἄλλον μῦθον, ἀμείνονα τοῦδε, νοῆσαι« ἢ τό, ἕκαστος· »οἱ δ' ἄλλοι φύγαδ' ἐμνώοντο ἕκαστος« Ἰλ. Π. 697. ἢ προηγούμενον αὐτοῦ τό, ἐς πλησίον· »ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον« Ἰλ. Δ. 81. δ) ἄλλα παρὰ ταῦτα, Διον. περὶ συνθ. σελ. 117. ὑπὸ Schaef. 6) προτυπικευόμενον· »...Ἑωσφόρος Ἠριγένεια, ἄστρα τε λαμπετόωντα...« (ἀντὶ ἄστρα τε ἄλλα)· Ἡσδ. Θεογ. 411. πολλάκις ἐν τῷ, Ζεὺς καὶ Θεοί· »τί δ' οὖν ἀνάσχετ' ἔστιν, ὦ Ζεῦ καὶ Θεοί...« (ἀντὶ καὶ ἄλλοι θεοί)· Ἀριστφ. Πλτ. 898. ὡσαύτως καὶ ἀλλαχοῦ προτασσόμενον δ' εὕρηται, Ἰλ. Ζ. 476. »Ζεῦ, ἄλλοι τε Θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι...« ἔτι δὲ ὑπακουόμενον· ὦ Ζεῦ καὶ πάντες Θεοί· Δημ. Στεφ. σελ. 323. καὶ (ἀντὶ καὶ πάντες ἄλλοι)· »Ζηνὶ φίλος καὶ πᾶσιν ὀλύμπια δώματ' ἔχουσιν« Ἡρδτ. 1. 65. (ἀντὶ καὶ πᾶσιν ἄλλοις). Ὡσαύτως παραλείπεται, τὸ ἄλλος καὶ ἐν πύσματι· »ποίῳ τρόπῳ; (ἀντὶ ποίῳ ἄλλῳ τρόπῳ)« Σοφ. Οἰδ. Κ. 474. καὶ »ἡμεῖς δὲ προσμένωμεν; ἢ τί χρὴ ποιεῖν;« (δηλ. τί ἄλλο χρή..) Τραχ. 392: ε) εἴ τις, ἀντί, εἴ τις ἄλλος· εὕρηται μέντοι καὶ προτασσόμενον· »...καὶ τλήμων εἴ τις ἄλλος ἀνθρώπων ἔφυ« Εὐρ. Φοίν. 1612. ς) αἱ δύο (ἀντὶ αἱ δύο ἄλλαι)· »...τὴν τριτάτην μὲν μοῖραν ὑπὸ ζόφον ἠερόεντα, τὰς δὲ δύο παρὰ μητρὶ καὶ ἄλλοις ἀθανάτοισιν« Ὁμ. Ὕμ. Δημ. 447. καὶ »...ἡ μὲν ἔην θνητή, αἱ δ' ἀθάνατοι καὶ ἀγήρω« Ἡσδ. Θεογ. 278. 7) Ἐπιρρηματικῶς τὸ ἄλλο, καὶ τὰ ἄλλα = ἄλλως· »..ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν, ἐν δὲ μετώπῳ...« Ἰλ. Ψ. 454. καὶ παρὰ Λογογράφ. πολλάκις: παρὰ Τραγ. δὲ = πρὸς τούτοις, πρὸς δέ· »ἄλλα ἑκατὸν δάνεισον« Ξεν. ΚΠ. γ'. α'. 19. Ὡσαύτως καὶ ὡς χρονικὸν Ἐπίρρ. = ἄλλοτε· Ξεν. ὥσπερ καὶ ἐπίθετ. ἐπὶ χρόνου, ὁ ἄλλος χρόνος· = ὁ παρῳχημένος· Ἀττ. Ἰδὲ καὶ ἰδιαιτέρως τό, ἄλλου, ἄλλῃ, ἄλλην, ἄλλως. Σημειωτέαι δέ, ὅτι ὁ Ὁμ. ἐξαιρέτως καὶ οἱ Ἀττ. τὸ ἄλλος, εἰώθασι συντάττειν ἄλλῳ τινὶ τῶν ἰδίων αὐτοῦ πτώσεων, ἢ καί τινος τῶν ἐκ πρωτοτύπου συγγενοῦς αὐτῷ λέξεων· π. χ. ἄλλος ἄλλον, ἄλλοθεν ἄλλος, ἄλλος ἐξ ἄλλου, ἄλλος-ἀλλοῖος καί· τ. τ. Wyttenb. ep. cr. σελ. 245. Διον. περὶ Συνθ. σελ. 62. ὑπὸ Schaef. Παραπλήσιον τούτοις ἐστὶ τό· »ἄλλος ἄλλας οἶδε τευχέων τρόπος« Εὐρ. Φοιν. 133. ἀντὶ τοῦ, τὸν μέν, οὕτως, τὸν δ' ἄλλως: ἄλλως τε καὶ ἄλλως. Ὁ δ' Ἡρδτ. συναιρεῖ τό, οἱ ἄλλοι εἰς ὧλλοι συνήθως· ἄλλοι δ' αὖ γράφουσιν ὤλλοι.

Ἄλλοσε· Ἐπίρρ. εἰς ἄλλον τόπον ἢ μέρος· »Τίς δέ μοι ἄλλοσε θῆκε λέχος;« Ὀδ. Ψ. 184. κινήσεως, καὶ 2) ἐν ἄλλῳ τόπῳ ἢ μέρει, ἀναφορᾶς σημαντικόν.

Ἄλλοτα, Αἰολ. ἀντὶ ἄλλοτε.

Ἄλλοτε· Ἐπίρρ. (ἄλλος, ὅτε) ἐν ἄλλῳ χρόνῳ (εἰς ἄλλον καιρόν, ἄλλην φοράν). Ὁ Ὁμ. χρῆται αὐτῷ συνήθως ἐν ἀντιθέσεσιν· ἄλλοτε — ἄλλοτε· (μιὰ φορά, ἄλλη φορά, πότε — πότε)· ἔτι δὲ καὶ ὁτὲ μὲν ἄλλοτε δέ »Ὡς Ἕκτωρ ὁτὲ μέν τε μετὰ πρώτοισι φάνεσκεν, ἄλλοτε δ' ἐν πυμάτοισι, κελεύων« Ἰλ. Λ. 64: ἄλλοτε μέν, ἄλλοτε δ' αὖτε· Ἡσδ. Ἀσπ. 221: Τότε μέν, ἄλλοτε δέ· »...ἠλαυνέτην, τότ' ἄλλος, ἄλλοθ' ἕτερος κάρα...« Σοφ. Ἠλ. 739: Ποτὲ μέν, ἄλλοτε δέ· »...ποτὲ μὲν κακόν, ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει« Ἀντγ. 367. Πολλάκις δὲ παραλείπεται τὸ προηγούμενον ἄλλοτε Herm. Vig. σελ. 793: Ἄλλοτε ἄλλος (πότε τοῦτος καὶ πότ' ἐκεῖνος· πότε ὁ ἕνας καὶ πότ' ὁ ἄλλος, πότε ἔτζι, καὶ πότε ἔτζι): Ἄλλοτε καὶ ἄλλοτε· ἔστιν ὅτε, ἐνίοτε, ἔσθ' ὅτε (μερικαῖς φοραῖς, ἀπὸ καμμιὰ φορά) Ξεν. ἔστι δὲ καὶ παραβολικῶς πάνυ εὔχρηστον ὡς τό, ἄλλοτ' ἐπ' ἄλλον, ἄλλοτε ἄλλῃ καὶ τ. τ.

Ἀλλότερος· αἰολ. ἀντὶ ἀλλότριος· ἀδέσποτον

Ἄλλο τι· ἢ ὀρθότερον ἄλλο τι· Ἐπίρ. (ἄλλος τις) παρ' Ἀττ. ἐρωτηματ. ἄλλο τι; ἐπειδὴ καὶ τί ἄλλο τίθεται Τὸν διαζευκτικόν, ἤ, ἐπιφερόμενον ἔχον, ἀποτελοῦς διπλοῦς σχηματίζει λόγον, ἀντὶ ἄλλο τι γένοιτ' ἂν ἤ-, »τοῦτ' ἄλλο τι ἢ θεοφιλὲς γίνεται;« Πλτ. Εὐθ. 19. »ἄλλο τι ἢ διαφέρει;« Κρτ. 11. »ἄλλο τι ἢ λείπεται τὸ ἐνθαῦτα ἐμοὶ κινδύνων ὁ μέγιστος;« Ἡρδτ. 1. 109. Ἔτι δὲ τίθεται καὶ ἄλλο τι οὖν, ἤ — Πλτ. Μεν. σελ. 82. D. Κριτ. σελ. 50. Α. 53. D. 2) ἄνευ τοῦ ἢ δὲ = ἢ γάρ; οὐκοῦν; (δῆλον ἀλήθεια; δὲν εἶναι ἔτζι;) ἄρα καταφατικόν· »ἄλλο τι οὖν οὐδὲ ἰατρός« ἄρα λοιπὸν οὔτε ἰατρός· Πλτ. Κλιθ. 18.

Ἀλλοτριάζω· (ἀλλότριος) ἀλλοτρίως, ἢ δυσμενῶς ἔχω, ἢ διάκειμαι πρός τινα (ἐχθρεύομαί τινα· δὲν μοὶ ἀρέζει τις, δὲν ἔχω πλέον εἰς τον)· Παλβ'. ΙΕ.

Ἀλλοτριόγαμος, ὁ, ἡ· (γάμος) ἐξ ἀλλοτρίου — παρανόμου — γάμου γεγεννημένος· ἢ ἀλλοτρίᾳ γαμετῇ, ἢ παρανόμως γυναικὶ συζῶν· (ὅστις εἶναι γεννημένος ἀπὸ παράνομον ὑπανδρείαν· ἢ ὅστις ζῇ μὲ ξένην γυναῖκα, ἢ εἶναι 'πανδρευμένος παράνομα) ἀμφιβ. ἡ λέξις.

Ἀλλοτριοεπίσκοπος, ὁ, ἡ· (ἐπίσκοπος) ἀλλοτρίοις προσέχων πράγμασι· ἀλλότρια σκοπιωρούμενος, ἢ κατασκοπῶν, κατάσκοπος· (ὅστις παρατηρεῖ, περιεργεύεται ξένα πράγματα, σπιοῦνος.) Πτρ. Ἀπόστ. 4, 15.

Ἀλλοτριολογέω, Μ. ήσω· (λέγω) λαλῶ ἀλλότρια τοῦ, περὶ οὗ ὁ λόγος, ἀπρεπῆ, ἢ μὴ προσήκοντα· (ὁμιλῶ λόγια ἀνάρμοστα εἰς τὸ προκείμενον, ἢ 'ς τὴν ὑπόθεσιν τῆς ὁμιλίας.) Στρβ. 11, σελ. 108.

Ἀλλοτριομορφοδίαιτος, ὁ, ἡ (μορφή, δίαιτα) ἐν ἀεὶ ἀλλοίᾳ μορφῇ ζῶν, φαινόμενος, ἢ ὁρώμενος (ὅστις ζῇ, φαίνεται ἢ τὸν βλέπουν πάντοτε μὲ ἀλλοιότικην μορφὴν μὲ ἀλλοιώτικον σχῆμα). Ἐπιθτ. τῆς Φύσεως. Ὀρφ.

Ἀλλοτριονομέω, Μλ. ήσω· (νέμω) ἀλλότρια διανέμω, παρέχω, ἢ προστίθημι, προσάπτω· (ξένα μοιράζω, δίδω, ἢ προσθέτω, προσαρμόζω.) Πλάτ. Θεαίτ. σελ. 195. Α. ἔνθα ἄλλος οὐκ εὐλόγως ἀλλοτριονομέω τοῦτ' ἔστιν ἀλλοτρίῳ ὀνόματι ἐπικαλοῖ, ἢ τὸ ἀληθὲς ὄνομα μεταλλάττω, ἀναγινώσκειν ἐθέλουσι. Ruhnk. Τιμαι. σλ. 25.

Ἀλλοτριοπραγέω. Μλ. ήσω· (πράσσω) ἀλλότρια χρηματίζω, μὴ προσήκοντά μοι πράττω, περὶ ἀλλότρια σπουδάζω· ὄχλον παρέχω, ἐνοχλῶ τινι, ταράττω τινα· (ἀνακατόνομαι εἰς ξέναις δουλειαῖς, εἰς ξένα πράγματα, εἰς πράγματα, τὰ ὁποῖα δὲν ἀνήκουν εἰς ἐμένα· ἐνοχλῶ, δὲν δίδω ἡσυχίαν.)

Ἀλλοτριοπραγία· ἡ· τὸ ἀλλότρια χρηματίζειν, περὶ ἀλλότρια σπουδάζειν, μὴ προσήκοντα πράττειν· πολυπράγμων σπουδή, οὐκ ὀρθὴ φιλοπραγμοσύνη (τὸ νὰ ἀνακατώνηταί τις εἰς ξέναις δουλειαῖς, εἰς πράγματα ὅσα δὲν ἀνήκουν εἰς αὐτόν).

Ἀλλοτριοπραγμοσύνη, ἡ· ἄκαιρος, περὶ ἀλλότρια σπουδή· ὡς τὸ προηγούμενον· (ἀνακάτωμα εἰς ξέναις δουλειαῖς, εἰς ξένα πράγματα) ἰδὲ πολυπραγμοσύνη. Πλάτ.

Ἀλλοτριοπράγμων· ὁ, ἡ· γενκ. ονος· (πράττω) περὶ ἀλλότρια, αὐτῷ μὴ προσήκοντα σπουδάζων, ἀλλότρια χρηματίζων· ἀκαιρίᾳ χρώμενος· (ὅστις εἶναι περίεργος εἰς ξένα πράγματα, ἀνακατόνεται εἰς ξέναις δουλειαῖς.) Πλατ.

Ἀλλότριος· ία, ιον· (ἄλλος) ξένος, ἀλλοδαπός, ἀλλόφυλος· (ξενομερίτης, ἀπὸ ξένον τόπον) «ἀλλότριος φώς.» Ὀδσ. Σ, 218. ἔτι δὲ καί, ὡς τὸ ἄλλος, πολέμιος, δυσμενής (ἐχθρός) «. . . αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς, εἰ μὴ . . .» Ἰλδ. Ε, 214. 2) ἄλλοις προσήκων, ἢ πρέπων, ἄλλοις ἴδιος· (ὅστις ἀνήκει εἰς ἄλλους, δὲν εἶναι ἰδικός μας) ἀλλότρ. βίοτος, νηῦς ἄχεα. Ὁμ. «ἐπεὶ οὔτις ἐπίσχεσις, οὐδ' ἐλεητὺς ἀλλοτρίων χαρίσασθαι . . .» (τὸ παρ' ἡμῖν κοινότερον, τὰ ξένα χαρίζει τινὰς εὔκολα). Ὀδσ. Ρ, 452. καὶ Υ, 347. «Οἱ δ' ἤδη γναθμοῖσι γελώων ἀλλοτρίοισιν· (ἐτάνυζαν καὶ στράβωναν τὸ στόμα ἀπὸ τὰ γέλοια 'σὰν νὰ μὴν ἦταν ἰδικόν των· τὸ κοινότερον, 'κόφτονταν ἀπὸ τὰ γέλοια.) 3) ἑτερότροπος, ἀπρεπής, ἀνάρμοστος, ἀλλόκοτος, παράξενος. «Οὐδὲν ἀλλότριον ποιῶν οὔτε τῆς ἑαυτοῦ πατρίδος οὔτε τοῦ τρόπου. Δημσθ. περὶ Στφ. 4) μετὰ γενκ. ἀλλοῖος, διαφέρων, ἐξηλλαγμένος· (ἀλλοιότικος, διαφερετικός, ἀσυνή-

θιστος) «ἀλλοτρία κατάστασις.» Δίων Κασ. Ἐπιρρ. ἀλλοτρίως, ἀφ' οὗ

Ἀλλοτριότης, ητος, ἡ· τὸ ἀλλότριον εἶναί τινα (ἡ κατάστασις τοῦ ξένου). 2) τὸ ἑτερότροπον, ἀλλόκοτον, τὸ ξενίζον τινα, τὸ ξένον δοκοῦν τινι (ἀλλοιώτικον, ἀσυνήθιστον, ἀνάρμοστον, παράξενον). 3) κακόνοια, ἀπροθυμία, ἀδιαφορία (ἐχθρότης, κακὴ ψυχή). Πλάτ. καὶ Δμσθ.

Ἀλλοτριούσιος, ὁ, ἡ· (οὐσία) ξένης οὐσίας ἢ ὑποστάσεως μέτοχος, ἐκ ξένης οὐσίας ὤν· (ὅστις δὲν ἔχει τὸ φυσικὸν εἶναί του.) Ἀθανάσιος.

Ἀλλοτριοφαγέω· ἀλλότρια κατεσθίω, κατατρώγω, καταναλίσκω, ἐξ ἀλλοτρίων ζῶ (τρώγω ξένα, ζῶ ἀπὸ ξένο ψωμί)· ἀπὸ τοῦ

Ἀλλοτριοφάγος, ὁ, ἡ· (φαγεῖν) ἐξ ἀλλοτρίων βιῶν, ἀλλότρια καταναλίσκων (ὅστις ζῇ ἀπὸ ξένα, τρώγει τὸ ξένον ψωμί)· Ἀθην.(α).

Ἀλλοτριοφθονέω· (φθονέω) ἀλλοτρίων ἀγαθῶν (φθονῶ τὰ ξένα καλά) σφλμ. ἀνάγν. ἐν Ὀδσ. Σ, 18. ὅπερ ὁ Βόλφιος, Wolf. ἀλλοτρίων φθονέειν, διῃρημένως, γράφει.

Ἀλλοτριοφρονέω· (φρονέω) ἀλλοτρίως ἔχω, δυσμενῶς διάκειμαι πρός τινα (ἐχθρεύομαί τινα). 2) τἀναντία φρονῶ, ἀναντιοῦμαι τῇ γνώμῃ τινός, φεύγω τὴν τινος γνώμην· (διαφορετικὴν γνώμην ἔχω, δὲν συμφωνῶ μὲ τὴν γνώμην τινός.) Διόδ. Σικλ.

Ἀλλοτριόχρως· (χρώς) ἀλλοτρίῳ δέρματι ἑαυτὸν καλύπτων· ἀλλοτρ. χρώματι ἐμφαινόμενος· (ὅστις σκεπάζει τὸ σῶμά του μὲ ξένον δέρμα, ὅστις ἀλείφεται μὲ ξένην, διαφορετικὴν ἀπὸ τὴν ἰδικήν του βαφὴν καὶ ἀλλάζει τὸ χρῶμά του). Ἀνλ. 2. σλ. 2.

Ἀλλοτριόχωρος, ὁ, ἡ· (χώρα) ἀλλοδαπός (ξένος, ἀπὸ ξένον τόπον.) Ἰώσπ.

Ἀλλοτριόω, Μλ. ώσω· (ἀλλότριος) ἀπαλλοτριῶ, ἀπηξενῶ, ἀποστάτην, ἢ ἀφίστασθαι ποιῶ· τι τινος, ἢ τίτινι. «ἢν δὲ φρουρέα ἡμῖν, γένηται, ταῦτα δὴ τοῖς μὲν πολεμίοις ἀλλοτριώσει τὴν χώραν . . .» Ξνφ. Κπ. 6, 6, 16. (ξενιτεύω, ἀπομακρύνω τινα) παθτκ. δέ, ἀλλοτριοῦμαι· χαλεπῶς, δυσμενῶς διάκειμαι πρός τινα, προτρέπομαι ἢ εἰς ἔχθραν ἐγχειρίζομαι· (ἐχθρεύομαι, μαλώνω, τὰ χαλνῶ μέ τινα.) 2) ἰδιοποιοῦμαι ἀλλότριόν τι· ἀποδίδομαι, πωλῶ τι, ξέναις χερσὶν ὑποβάλλομαί τι· (κάμνω ἰδικόν μου τίποτε ξένον πρᾶγμα, πωλῶ, κάμνω νὰ πέσῃ, ἢ περάσῃ τίποτε εἰς ξένα χέρια.) Παθητκ. ἄλλος, ἢ ξένος γίγνεταί μου ἐγκρατής (πέφτω εἰς ἄλλα, ἢ ξένα χέρια). «ἐκείνως μὲν γὰρ ἀλλοτριοῦται (ἡ σὴ ἀρχὴ) εἰς τὸν παῖδα τοῦτον περιιοῦσα, ἐόντα Πέρσην.» Ἡρδτ. 1, 120. 3) στερῶ, ἀποστερῶ, καταιστηρίζομαι, ἐκκλέπτω, ὑφαρπάζω· (κάμνω τὸ ξένον ἰδικόν μου μὲ κρυφὸν ἢ δόλιον τρόπον.)

Ἀλλοτριωνυμέω, Μλ. ήσω· μεταβάλλω τὸ ὀρθὸν ὄνομά τινος, ποιῶ ὀνομάτων ἐναλλαγήν· (ἀλλάζω τὰ ὀνόματα, δίδω εἴς τινα ἄλλο, ξένον ὄνομα ἀντὶς διὰ τὸ ἰδικόν του.) Πλτ. Θεαίτ.

Ἀλλοτρίως· μὴ προσηκόντως, πολεμίως, δυσμενῶς (ἄπρεπα, ἐχθρικά). Ἰσκρ. «ἀλλοτρίως διάκειμαι, ἢ ἔχω πρός τινα (σὲ ἐχθρεύομαι) καὶ Συγκρτ. ἐπίρρμτκ. ἀλλοτριώτερον. Ἰσκρ. Πανθ. «ἀλλοτριώτερον ἔχομεν πρὸς ἡμᾶς αὐτούς.»

Ἀλλοτρίωσις, εως, ἡ· ἀποστροφή· ἀντιπάθεια, τὸ δυσκόλως πρός τι ἔχειν, τὸ ἀποστρέφεσθαί τι· ἔχθρα, ἀπέχθεια (τὸ νὰ μὴ θέλῃ, μὴ ἀγαπᾷ, μισῇ τις τίποτε.) 2) ἄφεσις, τὸ ἀφίστασθαι, ἢ προΐεσθαί τι· ἀπόδοσις, πρᾶξις παράδοσις εἰς ἐχθρόν· (ἄφημα, τράβηγμα χέρι, πούλησις, παράδομα 'ς τὸν ἐχθρόν) «. . . καὶ μέγιστον ὅτι οἵ τε αὐτοὶ πολέμιοι ἡμῖν ἦσαν . . . , καὶ οὗτοι οὐκ ἀσθενεῖς . . . , καὶ ναυτικῆς καὶ οὐκ ἠπειρώτιδος τῆς ξυμμαχίας διδομένης, οὐχ ὁμοία ἡ ἀλλοτρίωσις. Θκδ. 1, 35. 3) νοσφισμός, στέρησις, ἀφαίρεσις. (τὸ νὰ κάμνῃ τις τὸ ξένον, μὲ κρυφὸν καὶ δόλιον τρόπον ἰδικόν του· ἅρπαγμα, ἀποστέρημα).

Ἀλλοτροπέω, Μλ. ήσω· μεταβάλλομαι· εἰμὶ εὐμετάβλητος (ἀλλάζω εὔκολα) ἀπὸ τοῦ

Ἀμβολάδην. Ἐπίῤῥ. Ἰων. καὶ Ἐπι. ἀντὶ ἀναβολάδην· (ἄνω, βάλλεσθαι) σὺν παφλασμῷ, μετὰ καχλασμοῦ (χοχλωτὰ) ἐπὶ ζέοντος καὶ παφλάζοντος ὕδατος (ὅταν βράζῃ νερὸν καὶ πηδάει τὸν ἀνήφορον) »λέβης ζεῖ ἔνδον ἐπειγόμενος πυρὶ πολλῷ ..., πάντοθεν ἀμβολάδην.« Ἰλ. Φ, 364. καὶ Ἡρδ. 4, 181. »ἀπεὶ δὲ μᾶλλον ἰὸν, ἐς τὸ θερμὸν ἐς μέσας νύκτας πελάζει, τηνικαῦτα δὲ ζέει ἀμβολάδην.« 2) ἀναβολικῶς, ἀναβλητικῶς· δι' ἀναβολῆς, μεταξὺ γινομένης· (διακοπτὰ, ἀπὸ καιρὸν εἰς καιρὸν) »ἀδεῖαί γε μὲν ἀμβολάδαν τελεταῖς δὶς Ἀθαναίων μιν ὀμφαὶ κώμασαν.« Πνδ. Νμ. 10, (61.) 33. καὶ Ὀμ. Ὕμ. Ἑρ. 425. »τάχα δὲ λιγέως κιθαρίζων γηρυετ' ἀμβολάδην, ... κραίνων ἀθανάτους τε Θεοὺς, καὶ γαῖαν ἐρεμνήν.«

Ἀμβολαδίς. Ἐπίῤῥ. ἀντὶ ἀναβολαδίς· χερσὶν ἀνατεταμέναις (μὲ τὰ χέρια σηκωμένα τὸν ἀνήφορον) Καλλμ. εἰς Ἀρτμ.

Ἀμβολάς, άδος, ἡ· Ἰων. ἀντὶ ἀναβολὰς, γῆ. δι' ὀρυγμοῦ ἐπεσωρευμένη γῆ· (χῶμα σωρωμένον, σωρὸς ἀπὸ ξεσκαμμένον χῶμα.) »Ἀμβολὰς γῆ λέγεται, ἡ ἐν τῷ ὀρύττεσθαι ἀναβαλλομένη, ἤγουν ἄνω ῥιπτομένη, τουτ' ἔστιν ὁ ἐξ ὀρυγμοῦ ἀναγόμενος χοῦς.« Ἐττθ. »Ἀνέστησε δὲ καὶ πολλοὺς πύργους ἐπὶ τῆς ἀμβολάδος γῆς.« Ξνφ. Κτ. ζ', 5, 6.

Ἀμβολή, ἡ. Ἐπι. καὶ Ἰων. ἀντὶ ἀναβολή.

Ἀμβολία, ἡ = ἀμβολή· ὅθεν

Ἀμβολιεργός, ὁ, ἡ· (ἀναβάλλω, ἔργον)· Ἰων. καὶ Ἐπι. ἀντὶ ἀναβολιεργός. Τὸ ἔργον ἢ τὴν πρᾶξιν ἀναβάλλων: ὀκνώδης, μέλλων, ὀκνηρὸς, βραδὺς (ὅστις ἀργοπορεῖ, κάμνει διακοπὴν εἰς τὴν δουλειάν του, πότε δουλεύει, καὶ πότε δὲν δουλεύει: ὀκνηρὸς, ἀργοπορινός). »Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.« Ἡσδ. Ἔρ. 411.

Ἀμβολίη, ἡ. Ἐπι. καὶ Ἰων. ἀντὶ ἀναβολία. Τρυφ.

Ἀμβρακεύομαι = καρτερέω. Ἡσχ.

Ἀμβρακίδες, αἱ. Ὑποδημάτων εἶδος τι (τσαρούχια φορούμενα 'ς τὴν Ἄρταν).

Ἀμβροσία, ἡ. Ἐπι. δὲ καὶ Ἰων. ἀμβροσίη· — κυρίως θηλκ. τοῦ ἀμβρόσιος, ὑπεκνοουμ. ἐδωδή, τροφή. — ἡ ἐδωδή, τὸ ἔδεσμα τῶν Θεῶν, ὥσπερ καὶ ἡ πόσις αὐτῶν, ἀθάνατον ποιοῦσα τὸν αὐτῆς ἐσθίοντα ὡς καὶ τὸ νέκταρ τὸν πίνοντα αὐτὸ, δι' ὃ τοῖς θνητοῖς ἀπηγορευμένη· (φαγὶ τῶν Θεῶν, τὸ ὁποῖον τοὺς ἔκαμνε νὰ μὴν ἀποθνήσκουν, καὶ διὰ τοῦτο ἦταν ἐμποδισμένον νὰ τὸ τρώγουν ἄνθρωποι) »ὡς ἄρα φωνήσασα θεὰ παρέθηκε τράπεζαν ἀμβροσίης πλήσασα.« Ὀδσ. Ε, 93. Παρὰ Σαπφοῖ δὲ καὶ Ἀλκμᾶνι ἀντιστρόφως, Ἀμβρ. ἡ τῶν Θεῶν πόσις. Ἀθν. 2, σλ. 39. Α. 2) εὐῶδές τι καθαρτήριον ἄλειφαρ, ἢ χριστὸν ἔλαιον τῶν Θεῶν (μυρωδικὸν λάδι μὲ τὸ ὁποῖον ἀλείφονταν οἱ Θεοί). »Ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ, ἀμβροσίῳ, ἑδανῷ, τό ῥα οἱ τεθυωμένον ἦεν.« Ἰλ. Ξ, 171, καὶ Π, 670, καὶ 680. »... χρῖσόν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσον.« 3) Πᾶς πλησμὸς τῶν θεῶν, πᾶν κεχαριτωμένον, ἢ ἐν ἡδονῇ αὐτοῖς ὄν· (κάθε θελκτικὸν πρᾶγμα, τὸ ὁποῖον ἀρέσκει εἰς τοὺς θεοὺς καὶ τοὺς εὐφραίνει) ὅθεν καὶ ὁ Σιμόεις ποτμ. ἀνεφύησεν (ἔκαμε νὰ φυτρώσῃ). Ἀμβρ. τοῖς ἵπποις τῆς Ἥρας· »τοῖσιν δ' ἀμβροσίην Σιμόεις ἀνέτειλε νέμεσθαι.« Ἰλ. Ε, 777. καὶ ἡ Εἰδοθέα παρέσχε τῷ Μενελάῳ νὰ ὀσφρανθῇ Ἀμβροσ. διὰ τὴν δυσωδίαν τῶν Φωκῶν· (διὰ τὴν βρῶμαν ἀπὸ τὰς φώκας.) »Ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστῳ θῆκε φέρουσα, ἡδὺ μάλα πνείουσαν.« Ὀδσ. Δ. 445. 4) Εἰς τὰ περὶ τοὺς θεοὺς νομιζόμενα (εἰς τὰ θρησκευτικὰ πράγματα) σύγκραμά τι ἐλαίου, ὕδατος, καὶ διαφόρων καρπῶν. Ἀθν. καὶ οὕτως ἐννοοῦσί τινες τὸ »Ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος λύματα πάντα κάθηρεν...« Ἰλ. Ξ, 170. (Κατὰ Βουτμ. Λξ. 1, σλ. 132, 133. Ἡ λέξις ἦν ἐξ ἀρχῆς

ἀντιαττικὴ παρὰ τό, βροτός, ἄμβροτος = ἀθανασία.

Ἀμβρόσια, τά. Ἑορτὴ εἰς τιμὴν τοῦ Διονύσου, παρὰ τοῖς Ἴωσι.

Ἀμβροσιόδμος, ὁ, ἡ· (ὀδμή) θεῖος, ἢ ἀμβροσίαν ἀποπνέων, ἀμβροσίας ὄζων· (ὅστις μυρίζει ἀπὸ ἀμβροσίαν.)

Ἀμβρόσιος, ία, ιον· (ἄμβροτος) Ἀθάνατος, θεῖος, θείας φύσεως. »... ἔνθα τε νύμφη ἀμβροσίη λόχευσε Διὸς παῖδα Κρονίωνος.« Ὁμ. Ὑμ. Ἑρμ. 230. Κατὰ τὴν αὐτὴν σημασίαν ἐπονομάζονται πολλάκις παρ' Ὁμ. ἡ νὺξ Ἰλδ. Β, 57. Κ, 41, 142. Σ, 268. καὶ ὁ ὕπνος Ἰλδ. Β, 19, ὅτε δῶρα τῶν θεῶν, ὡς καὶ ἱερὸν ἦμαρ, ἱερὸν κνέφας. »... τετράς τε, καὶ ἑβδόμη ἱερὸν ἦμαρ.« Ἡσδ. Ἔρ. 715. οὐ μέντοι διὰ τοῦτο νοητέον ἀειδίως διαρκοῦντα, ἢ (ἐνεργητ.) ἀναζωπυροῦντα, τοῦτ' ἔστιν ἀθανασίαν παρέχοντα αὐτά. Ὡσαύτως καὶ ὕδωρ. »... Οἳ πόλιν ... ναίετε ... ἀμβρόσιον πίνοντες ὕδωρ θείου ποταμοῖο ...« Ἐπιγρ. Ὁμ. α΄. καὶ, δ΄. »... ἦντε δὲ ἀγλαὸν εἶσιν ὕδωρ ἱεροῖο Μέλητος.« 2) Ἔτι δὲ ἐπονομάζεται ἀμβρόσιον καὶ πᾶν, ὅ,τι κέκτηνται οἱ θεοί, ἢ τῇ οὐσίᾳ καὶ τῇ ὑποστάσει αὐτῶν ἀνῆκον, διὰ τὸ θεωρεῖσθαι τὸ τοιοῦτον ὑπὸ τῆς οὐσίας αὐτῶν διαλαμβανόμενον, ὅθεν· θεῖος μέγα, καλόν, ὑψηλόν, λαμπρόν (θεϊκὸ μεγάλον, εὔμορφον, ψηλόν, λαμπρόν). Παρ' Ὁμ. καὶ Ἡσδ. θεῖον κάλλος, μέλος, ᾆσμα· θεῖος ὕμνος, θεία φωνή.« Κάλλεϊ μέν οἱ πρῶτα προσώπατα καλὰ κάθηρεν ἀμβροσίῳ...« Ὀδσ. Σ, 192. »... αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ, ἀμβροσίῃ μολπῇ.« Ἡσδ. Θγν. 70. Ἔτι δὲ θεῶν κόμη, πλόκαμοι, πέπλος, ἐσθής, ἴχνος, ἄλειφαρ (ἄνευ ἀναφορᾶς πρὸς εὐωδίαν) »ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπεῤῥώσαντο ἄνακτος κρατὸς ἀπ' ἀθανάτοιο.« Ἰλδ. Α, 529. »... ἰδὲ χαίτας πεξαμένη, χερσὶ πλοκάμους ἔπλεξε φαεινούς, καλούς, ἀμβροσίους, ἐκ κράατος ἀθανάτοιο.« Ξ, 178, καὶ »..δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη, ἀμφὶ δ' ἄρ' ἀμβρόσιος ἑανὸς τρέμε.« Φ, 507 καὶ »... ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα, ἀμβρόσια, χρύσεια...« Ω, 341. καὶ »...ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ ἀμβροσίῳ, ἵνα μή.« Ψ, 187. ὡσαύτως καὶ ἡ τροφή, καὶ αἱ φάτναι τῶν ἵππων αὐτῶν. »ἔνθ' ἵππους ἔστησε..., παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ.« Ε, 369. καὶ Θ, 434. »...καὶ τοὺς μὲν κατέδησαν ἐπ' ἀμβροσίῃσι κάπῃσιν.« ἐν οἷς ἡ κατ' ἐνέργειαν σημασία οὐκ ἐγχωρεῖ· διετηρήθη δὲ ἡ τοιαύτη χρῆσις τῆς λέξεως, μᾶλλον ἐπὶ πραγμάτων, ἢ ἐπὶ προσώπων, καὶ παρὰ πᾶσι τοῖς μεταγενεστέροις. Ὁ δὲ Εὐρπ. χρῆται τῇ λέξει διασταλτικῶς. Παραβλ. ἀμβροσία, ἄμβροτος, ἄβροτος. Βουτμ. Λεξ. 1, σλ. 132.

Ἀμβροτεῖν, Ἐπκ. καὶ Ἰων. ἀόρστ. β΄, τοῦ ἁμαρτάνω, ἀντὶ τοῦ ἁμαρτεῖν.

Ἀμβροτόπωλος, ὁ, ἡ· (πῶλος) θεῖος πῶλος (θεϊκὸ πουλάρι) Εὐρπ. Τρ. »..καὶ Δαρδανίας ἄταν θεᾶς δώσων, χάριν ἄζυγος ἀμβροτοπώλου· ὑπ' ἄλλων δὲ ἄμβροτα πώλου ἀναγινωσκόμενον.

Ἄμβροτος, ὁ, ἡ· (βροτός, μετὰ τοῦ στερητικοῦ α καὶ παρενθέτου τοῦ μ). Ἀθάνατος, θεῖος, θείας φύσεως· ὡς τὸ ἀμβρόσιος, τοῦ ὁποίου διαφέρει μόνον καθ' ὅσον ὁ Ὁμ. χρῆται αὐτῷ ἐπὶ προσώπων καὶ πραγμάτων· »..οὐδὲ κ' Ἄρης, ὅσπερ θεὸς ἄμβροτος, οὐδὲ κ' Ἀθήνη, τοσσῆσδ' ὑσμίνης ἐφέποι στόμα, καὶ πονέοιτο.« Ἰλδ. Υ, 358. καὶ Ὀδσ. Τ, 444. »αὐτὸς ἐγὼν εἶδον θεὸν ἄμβροτον, ὅς ῥ' Ὀδυσῆϊ ἐγγύθεν εἱστήκει καὶ Μέντορι πάντα ἐῴκει.« Ἔτι δὲ ἐπονομάζει οὕτω τὸ κάλλος, τὸ αἷμα, Ἰλδ. Ε, 339, 870. Π, 670, 680. τὴν ἐσθῆτα, τὸν πέπλον τῶν Θεῶν· τὸ θαυμάσιον κεφαλόδεσμον, ἢ ζώνην τῆς Λευκοθέας, »τῷ δὲ τόδε κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσαι ἄμβροτον.« Ὀδσ. Ε, 346. τὴν νύκτα· ἰδὲ εἰς τό, ἀμβρόσιος· τοὺς ἵππους καὶ τὰς βοῦς τῶν θεῶν. »Ἀντικρὺ δ' ἀνὰ τάφρον ὑπέρθορον ὠκέες ἵπποι ἄμβροτοι ...« Ἰλδ. Π, 381. καὶ Ὁμ. Ὑμ. Ἑρ. 71. »ἔνθα θεῶν μακάρων βόες ἄμβροτοι αὖλιν ἔχεσκον βοσκόμεναι ...« ὡσαύτως τὸ ἔδεσμα τῶν Θεῶν καὶ τὰ παρ' αὐτῶν παρεχόμενα ὅπλα καὶ ἄλλα δῶρα. »... Ὁ δ' ἄμβροτα τεύχε' ἔδυνε Πηλείδαο Ἀχιλῆος, ἅ οἱ Θεοὶ οὐρανίωνες πατρὶ φίλῳ ἔπορον.« Ἰλδ. Ρ, 194. Ὀδσ. Σ, 190. »... τέως δ' ἄρα δῖα θεάων ἄμβροτα δῶρα δίδου, ἵνα μιν θησαίατ' Ἀχαιοί.« Ἔτι δὲ τὸ ὑπὸ θεᾶς ἐξειργασμένον ὕφασμα. »Κίρκης δ' ἔνδον ἄκουον .... ἱστὸν ἐποιχομένης, μέγαν ἄμβροτον· οἷα θεάων λεπτά τε, καὶ χαρίεντα, καὶ ἀγλαὰ ἔργα πέλονται.« Ὀδσ. Κ, 223. Ὁ δὲ Ἡσδ. καὶ τὴν φωνὴν τῶν Θεῶν ἄμβροτον προσαγορεύει· »..αἱ δ' ἄμβροτον ὄσσαν ἱεῖσαι, θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ.« Θεογ. 43. Πινδ. Νμ. 10. 12.

Ἄμβυξ, υκος, ὁ = ἄμβιξ.

Ἄμβων, ωνος, ὁ· Ἰων. ἄμβη. ὀφρὺς ἀσπίδος, ἢ χεῖλος λεκάνης, λοπάδος ἴτυς· (ὁ γῦρος ἀπὸ ἀσπίδαν, τὰ χείλη ἀπὸ λεκάνην καὶ ἀπὸ ἄλλα ἀγγεῖα, εἰς τὰ ὁποῖα κενώνουν φαγητά): πυθμήν, πύνδαξ ἐκπώματος (ὁ πάτος ἀπὸ ποτήρι)· παρὰ τοῖς Ῥοδίοις δὲ καὶ ἡ ἀκρώρεια (ἡ κορυφὴ βουνοῦ). 2) Παρὰ τοῖς μεταγενεστ. ὁ ἐν ταῖς Ἐκκλησίαις Ἄμβων (ὁ ἄμβωνας 'ς τὴν Ἐκκλησίαν). Κατ' Αἰσχύλ. αἱ προσαναβάσεις τῶν ὀρέων, οἱ ὀρεινοὶ καὶ ὑψηλοὶ τόποι· ὅθεν καὶ παρὰ Ποιητ. τὸ »ἐπ' οὔρεος ἀμβώνεσσι.« Ὁ δὲ Εὐστθ. σλ. 1636. φησί. »Ἄμβωνες λέγοι ὀρῶν καὶ ἴτυς πᾶσα, καὶ οἷον ὀφρὺς καὶ ὑπεροχή· καὶ χείλη δὲ λοπάδων· οἷον· »ἀπολλῶν ἤδη λοπάδων τοὺς ἄμβωνας περιλείξας·« καὶ Πολυδ. 6, 6. »Τοῦ δὲ κώθωνος ἑκατέρωθεν πλευραί, ὥσπερ καὶ τῆς χύτρας, ἄμβωνες καλοῦνται·« καὶ Πλουτ. Λυκ. »Τὰ ἀναγκαίως πινόμενα τῶν ὑδάτων καὶ δυσωποῦντα τὴν ὄψιν ἀπέκρυπτε τῇ χρόᾳ, καὶ τοῦ θολεροῦ προσκόπτοντος ἐντός, καὶ προσισχομένου τοῖς ἄμβωσι, καθαρώτερον ἐπλησίαζε τῷ στόματι τὸ πινόμενον.« Ὅπερ βεβαιοῖ καὶ ὁ Ἀθην. ια΄. »ὁ Κώθων, ἐκπωμα χρησιμώτατον εἰς στρατείαν, οὕνεκα στρατιωτικῶν πολλάκις ἀνάγκη ὕδωρ πίνειν οὐ καθαρόν· πρῶτον μὲν οὖν τὸ μὴ λίαν κατάδηλον εἶναι τὸ πῶμα· εἶτα ἄμβωνας ὁ κώθων ἔχων ὑπολείπει τὸ οὐ καθαρόν·« καὶ Γαλην. »ἄμβωνες τῶν κοτυλῶν.«

Ἀμβωνίζομαι· ἀναβαίνω ἐπὶ τὸν ἄμβωνα, ἢ λαλῶ ἐπ' ἄμβωνος (βγαίνω λέγων 'ς τὸν ἄμβωνα) Συνοδ.

Ἀμβώσας, Ἰων. μετοχ. ἀορσ. α΄. ἀντί, ἀναβοήσας· »ὁ δὲ μέγ' ἀμβώσας εἶπε.« Ἡρδτ.

Ἀμεγέθης, ὁ, ἡ· (μέγεθος) μὴ μέγας, μικρός, βραχύς (ὄχι μεγάλος, μικρός, κοντὸς ἢ στενός)· »Τὰ μὲν μέγεθος ἔχει, τὸ δὲ τῆς ἡλικίας ἀμεγέθεις.« Θφρ. Φ. Ἱστ. α΄. 21.

Ἀμέγαρτος, ὁ, ἡ· (μεγαίρω μετὰ τοῦ στερητ. α.) ἐπὶ πραγμάτων· τὸ οὐδένα εἰς φθόνον κινοῦν, οὗ οὐδεὶς τῷ αὐτὸ ἔχοντι, ἢ πάσχοντι φθονεῖ· δηλονότι ἀνιαρόν, χαλεπόν, φοβερόν, αἰσχρόν· ἀθλιότης, ἀτύχημα, συμφορά· (κάθε πρᾶγμα, τὸ ὁποῖον δὲν προξενεῖ φθόνον· διὰ τὸ ὁποῖον δὲν φθονεῖ, δὲν ζηλεύει κανεὶς ἐκεῖνον ὁποῦ τὸ ἔχει, ἢ ὁποῦ τὸ παθαίνει· δηλαδὴ λυπηρόν, κακόν, φοβερόν, ἄχρειον, ταλαιπωρία, δυστυχία, κακορριζικιά). »... ἀλλ' ὅγε δέκτο μὲν ἱρά, πόνον δ' ἀμέγαρτον ὄφελλεν.« Ἰλδ. Β, 420. καὶ Ἡσδ Θγν. 666. »... μάχην δ' ἀμέγαρτον ἔγειραν..« καὶ Ὀδσ. Λ, 399. »... ἦέ σε γ' .... ἐδάμασσεν, ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμήν.« καὶ Αἰσχ. Πρμθ. 402. »... στένω σε τᾶς οὐλομένας τύχας .... ἀμέγαρτα γὰρ τάδε Ζεὺς .... πάρος δείκνυσιν αἰχμάν.« καὶ Ἱκτ. 639. »αἰδοῦνται δ' ἱκέτας Διός, ποίμναν τάνδ' ἀμέγαρτον.« Ὡσαύτως καὶ παρὰ τοῖς Ἀττκ. Ποιηταῖς. 2) Ἐπὶ προσώπων· Εὐτελής, ἄζηλος, ἀνεπίφθονος· (ταπεινός, ἀζήλευτος, ἀφθόνητος) »Πῇ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα, πτωχόν, ἀνιηρόν; ..« Ὀδσ. Ρ, 219. καὶ Φ, 362. »Πῇ δὴ καμπύλα τόξα φέρεις, ἀμέγαρτε συβῶτα, πλαγκτέ;« καὶ Ὑμ. Ἑρ. 539. »ἀνθρώπων δ' ἄλλον δηλήσομαι, ἄλλον ὀνήσω, πολλὰ περιτροπέων ἀμεγάρτων φῦλ' ἀνθρώπων·« (τὴν μετὰ τοῦ ἐπιτατ. α, δευτέραν σημασίαν τῆς λέξεως. Μέγας, τεραστιώδης, ἀφειδής, ἄφθονος· ἀποδοκιμάζει ὁ Βτμν. Λξ. 1, σλ. 261.)

Ἀμέθεκτος, ὁ, ἡ· (μετέχω) μὴ μετέχων, μὴ μετασχών, ἀμέτοχος, (ὅστις δὲν μετέχει, ἢ δὲν μετεῖχεν ἀπὸ τίποτε) Δντ. Ἀρ. 2) Οὗ οὐδεὶς μετέχειν ἢ μετασχεῖν δύναται (ἀπὸ τὸν ὁποῖον δὲν ἠμπορεῖ τις νὰ μετέχῃ, ἢ δὲν μετεῖχεν) Ἐπρρ. ἀμεθέκτως· ἀφ' οὗ

Ἀμεθεξία, ἡ· τὸ μὴ μετέχειν τινός τι, στέρησις μετοχῆς τινος (τὸ νὰ μὴ μετέχῃ τις ἀπὸ τίποτε). Νορν. λέ.

Ἀμεθόδευτος, ὁ, ἡ· (μεθοδεύω) καὶ

Ἀμέθοδος, ὁ, ἡ· (μέθοδος) ἄνευ εἰσηγήσεως, προπαιδεύσεως, προκατασκευῆς· ἄνευ μεθόδου, ἄνευ τοῦ προσήκοντος τρόπου καὶ κανόνος· (ἀπροδιδάχτος, ἀπροετοίμαστος· χωρὶς μέθοδον, χωρὶς τὸν τρόπον καὶ τὸν κανόνα, κατὰ τὸν ὁποῖον πρέπει νὰ κάμῃ τις τίποτε, ἢ νὰ γίνηται τίποτε).

Ἀμέθυσος, ὁ, ἡ· καὶ

Ἀμέθυστος, ὁ, ἡ· (μεθύω) μὴ μεθύων, μὴ μέθυσος, μὴ πάροινος. μὴ παροίνιος· (ὅστις δὲν μεθᾷ, δὲν πίνει τόσον ὥστε νὰ μεθάσῃ· δὲν εἶναι παραδομένος 'ς τὸ νὰ πίνῃ). 2) Ἐνεργ. τὴν μέθυσιν, τὴν κραιπάλην κωλύων, κατέχων (ὅστις ἔχει ἐνέργειαν νὰ ἐμποδίζῃ τὴν μέθην) π. χ. φάρμακον (ἰατρικόν, βοτάνι) ἀμέθυστον. 2) Ἀμέθυστος, ἡ· τὴν μέθυσιν εἰωθυῖα καταπαύειν (ὅστις καταπραΰνει τὴν μέθην, κάμνει νὰ παύσῃ, περάσῃ ἡ μέθη, ἡ τὸ μεθύσι). Πλτχ. Πρβλ. Σ. 3. β) ὄνομα πολυτίμου λίθου, ἥτις καὶ Ἰβηρικὴ καὶ Ἰνδικὴ καὶ Βρεττανικὴ λέγεται· (ὄνομα ἀπὸ ἕνα πετράδι, τὸ ὁποῖον εἶναι ἀσπροκόκκινον καθὼς τὸ νερωμένον κρασί)· »ἀμέθυστον καλεῖσθαι τὴν λίθον οὐ διὰ τὸ πρὸς τὰς οἰνώσεις βοηθεῖν, ἀλλ' ὅτι ὑδαρεῖ τὴν κρᾶσιν οἴνῳ τὸ χρῶμα προσέοικε.« Πλτχ. Συμπ. Γ, 1. γ) ἀγνωστόν τι εἶδος τοιοῦδε φυτοῦ εἶδος, Πλτ. Συμπ. Γ, 1.

Ἀμειαγώγητος, ὁ, ἡ· οὗ τὸ βάρος δὲν ἐσταθμήθη δὲν ἐξητάσθη εἰ ἐστὶ δίκαιον ἢ οὔ (τοῦ ὁποίου τὸ βάρος δὲν ἐδοκιμάσθηκε 'ς τὸ

ζύγι· ἂν εἶναι σωστὸν ἢ ὄχι) Συντ. Ἐπιτ. Ε. ἰδὲ Μεῖον.

Ἀμείβομαι· ἰδὲ ἀμείβω, 2).

Ἀμείβοντες, οἱ· ἰδὲ ἀμείβω, 3).

Ἀμείβω· Μλ. ψω· ἀοριτ. ἤμειψα. Ἀλλάττω, ἀνταλλάττω· (ἀλλάζω, κάμνω ἀλλαγὴν δίδοντας τίποτε πρᾶγμα καὶ παίρνοντας ἄλλο τίποτε δι' αὐτό). »Ἔνθ' αὖτε Γλαύκῳ .... ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβε, χρύσεα χαλκείων . .« Ἰλδ. Ζ. 235. καὶ, Ξ, 381. » . . . οἰχόμενοι δ' ἐπὶ πάντας, ἀρήϊα τεύχε' ἄμειβον, ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόσκεν«: ἐναλλάττω (ἀλλάζω, ποτὲ τὸ ἕνα, ποτὲ τὸ ἄλλο βάνω, παίρνω, τραβῶ· κλ. τ. τ. π. χ. ὅταν περιπατῶ σαλεύω ποτὲ τὸ ἕνα, ποτὲ τὸ ἄλλο ποδάρι· ὅταν παίζω βιολὶ πατῶ τὲς χόρδες ποτὲ μὲ τὸ ἕνα, ποτὲ μὲ τὸ ἄλλο δάχτυλο· κ. τ. τ.) » . . . τρέσσε δὲ παπτήνας ἐφ' ὁμίλου, θηρὶ ἐοικώς, ἐντροπαλιζόμενος, ὀλίγον γόνυ γουνὸς ἀμείβων·« τουτέστι βραχὺ προποδίζων, ἢ ὀπίσω χωρῶν καὶ μὴ μακρὰ βιβάζων (κάμνοντας κοντὰ δρασκέλια ἐμπρὸς ἢ ὀπίσω) Ἰλδ. Λ. 546. Τῷ ἐνεργ. τύπῳ σπανίως χρῆται ὁ Ὅμηρος· οἱ Ἀττ. δὲ, πολλάκις: Μεταβαίνω ἀφ' ἑνὸς εἰς ἄλλο (ἀπὸ ἕνα πάγω ς' ἄλλο· ἀφίνω ἕνα κι' ἀρχίζω ἄλλο) »θύραν ἐκ θύρας ἀμείβοντα.« Εὐρπ. Καταλείπω, ἀπέρχομαι (ἀφίνω, φεύγω) »σὺ δ', ὦ Ποίαντος παῖ, Φιλοκτήτην λέγω, ἔξελθ' ἀμείψας τάσδε πετρήρεις στέγας.« Σφκ. Φιλ. 1262. καὶ Εὐρπ. »ἄμειψον δώματα·« καὶ Ἀπλλ. »γαῖαν ἀμείβονα« καὶ Ἡρδτ. 5, 72. » . . . ἡ δὲ ἱρείη ἐξαναστᾶσα ἐκ τοῦ θρόνου πρὶν ἢ τὰς θύρας αὐτὸν ἀμεῖψαι, εἶπε . . .« Μεταβάλλω, ἀλλοιῶ (ἀλλάζω, κάμνω ἀλλοιώτικον) »μορφὴν δ' ἀμείψας ἐκ θεοῦ βροτησίαν, πάρειμι...« Εὐρπ. Βκχ. 4. Μεταφορ. ἀνταποδίδωμι· (ἀντιπληρώνω, κάμνω εἰς τινὰ ὅ,τι μοὶ ἔκαμεν αὐτός) » . . . τῶν δὲ τ' ἀμείβει θανάτους θανάτων · · « Εὐρπ. Ὀρ. 1004. 2) Μέσ. μετὰ αἰτιατ. τοῦ προσπ. Ἀποκρίνομαι· ἀμείβομαί τινα μύθῳ, μύθοις, λόγοις, ἔπεσι· ἐνίοτε δὲ ἄνευ τῆς αἰτιατ. παρ' Ὁμ. καὶ Ἡρδτ. πολλάκις δὲ καὶ ἄνευ τοῦ μύθῳ· ἔτι δὲ καὶ περιφραστικ. ἀμειβόμενος προσέφη, προσηύδα, προσέειπε. Ἀλλὰ καὶ ἀπολύτως, ἀποκρίνομαι: »ἡ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ.« Ὀδσ. Λ. 214. Σπανιώτερον μετὰ αἰτιατ. τοῦ πρᾶγμ. »Ταῦτα ἀμείψατο« Ἡρδτ. 1. 37. καὶ 8. 58. »καὶ οὐδὲν πρὸς ταῦτα ἀμειψάμενος ᾔιε . .« ἢ διπτῇ αἰτιατ. τοῦ προσκ. καὶ τοῦ πρᾶγμ. »Ὁ δὲ ἄλλο μὲν οὐδὲν ἀμείβεται τὸν πατέρα . .« Ἡρδτ. 3. 52. Καὶ δοτ. τοῦ πρᾶγμ. καὶ αἰτιατ. τοῦ προσ. »Ὁ δὲ ἀμείβετο τοισίδε αὐτούς.« Ἡρδτ. 2. 173. Ἐρίζομαι (ἀλλάζω λόγια, μαλώνω): »Ὣς τὼ μὲν χαλεποῖσιν ἀμειβομένω ἐπέεσσιν ἀνστάσαν.« Ὀδσ. Γ. 148. καὶ Δ, 81. »Νῶϊ μὲν ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσιν ἥμεθ'.« καὶ 454. Ἔτι δὲ καὶ συνδιαλέγομαι (ὁμιλῶ) »Νῶϊ μὲν ὣς ἐπέεσσιν ἀμειβόμεθ'« 224. Ὁ παθητ. ἀόρ. παρὰ Πνδ. Πθ. 4, 166 κ. 182. »Τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις ὧδ' ἀμείφθη·« ἀλλὰ καὶ παρὰ τοῖς μεταγεστ. Κατ' ἐνεργ. σημασ. »τῷ κέν σ' εὖ δώροισιν ἀμειψάμενος ἀπέπεμψε, καὶ ξενίῃ ἀγαθῇ.« Ὀδσ. Τ, 284. καὶ Λ, 375, » . . . ἄλλας δ' ἀλεγύνετε δαῖτας, ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατ' οἴκους·« καὶ Ἰλδ. Ι, 409. »Ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστή, οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων·« καὶ ἀντεστραμμένως, τουτ' ἔστιν ἔξωθεν εἰς τὰ ἔνδον· περὶ τοῦ ποτοῦ γὰρ ὁ λόγος· ἐν Ὀδσ. Κ, 328. » . . . οὐδὲ γὰρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ' ἀνέτλη ὅς κε πίῃ, καὶ πρῶτον ἀμείψεται ἕρκος ὀδόντων.« Ἐν γένει δὲ, ἐκδέχομαι, ἢ διαδέχομαι: ἀλλοιοῦμαι (παίρνω τὴν δουλειὰν ἢ τὸν τόπον, τὴν ὁποίαν ἔκαμνεν, ἢ τὸν ὁποῖον εἶχεν ἄλλος: ἀλλάζω, γίνομαι ἀλλοιώτικος)· »οἱ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον.« Ἰλδ. Ι. καὶ Ὀδσ. Ι. »Τάρφε' ἀμειβόμενοι« καὶ »ταύτην τὴν ἀγρυπνίαν εἰς ὕπνος τῶν ἥδιστον διαδέχεται.« Εὐστθ. καὶ Γρη. Μετοχικῶς δὲ, τελικῷ συντασσόμενον ῥήματι ἐπιρρηματικῶς σχεδὸν κεῖται. »Μοῦσαι δ' ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῇ, θρήνεον.« Ὀδσ. Τ, 60. = ἀμοιβαδίς· καὶ Ι, 409. »Οἱ δ' ἀπαμειβόμενοι ἔπεα πτερόεντ' ἀγόρευον.« Σπανίως μετὰ αἰτιατ. τοῦ πράγματος· »μῆτιν ἀμείβετο« Πνδ. ὡς τὸ κατ' ἐνεργ. σημασ. »πύλας ἀμείβεσθαι, οὐδὸν ἀμείβεσθαι« Θεοκ. καὶ τ. τ. παρὰ τοῖς μεθ' Ὅμηρον: Ἔτι δὲ καὶ ἀνταποδίδωμι κακὸν, ἢ καλὸν (ἀντιπληρώνω) »ἀμείβ. χάρεσιν« Εὐρπ. Φοιν. καὶ Κύκ. 312. »πολλοῖσι γὰρ κέρδη πονηρὰ ζημίαν ἠμείψατο.« καὶ Ἡρδτ. »ἀμείβομαι χαριζόμενος.« Δημσθ. δὲ, »ἀμείβομαι τοῖς ὁμοίοις« καὶ Ξεν. Ἀπομ. δ. 3. »τὰς τῶν θεῶν εὐεργεσίας ἀξίαις χάρισιν ἀμείβεσθαι.« Ὁ δὲ Λουκ. Ἐπ. »τοιγαροῦν ἀμείψομαί τε τοῦδε τῆς δικαιοσύνης.« 3) Μετχ. ἐνεργ. οἱ ἀμείβοντες· οἱ συστάται· (ἀκβαλλάρης, ἢ γρατζαλίς τῆς σκεπαστῆς, ἢ ὁπαῖαις κρατοῦν τὴν σκεπαστήν)· »Ὡς δ' ὅτ' ἀμείβοντες, τούς τε κλυτὸς ἤραρε τέκτων, δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων.« Ἰλδ. Ψ. 712. Ἀμείβοντες δὲ λέγονται ξύλα ὑπερέχοντα τὴν στέγην, ἅπερ σύνδυο ἐξ ἀποστάσεως τῆς κάτω ἄνω συναγόμενα, ἀντερείδουσιν ἀλλήλα, ὡς οἱ τεχνικοὶ χυδαίᾳ γλώττῃ, προσφιλοῦντες φασί. Εὐστθ. σχ. 1321. Ἐν ἀμείβοντι = ἀμοιβαδίς· Δένδρεα τ' οὐκ ἐθέλει πάσαις ἐτέων περιόδοις ἄνθος εὐῶδες φέρειν, πλούτῳ ἴσον, ἀλλ' ἐν ἀμείβοντι.« Πνδ. Νμ. 11, 54. ἰδὲ ἀμεύω.

Ἀμειδής, ὁ, ἡ· καὶ

Ἀμείδητος, ὁ, ἡ· (μειδιάω) μὴ μειδιῶν· μὴ ὑπογελῶν (ἀχαμογέλαστος· ὅστις δὲν χαμογελᾷ δὲν ἐχαμογέλασε) περίλυπος· σκυθρωπὸς στυγνός· (λυπημένος· σοβαρός, μπουτζωμένος) »ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἄνασσαν Περσεφόνην.« Επγρ. »ἀμειδὲς πρόσωπον.«

Ἀμείλικτος, ὁ, ἡ· (μειλίσσω) ἀπηνὴς, χαλεπὸς, ἀνήμερος, ἀπαραίτητος, ἄκαμπτος, ἀνεξίλαστος, σκληρός· (ἀνημέρευτος, δύσκολος, ἀλύγιστος, σκληρόκαρδος) »ὣς τώ γε κλαίοντε προσαυδήτην βασιλῆα μειλιχίοις ἐπέεσσιν· ἀμείλικτον δ' ὄπ' ἄκουσαν.« Ἰλ. Λ, 137. καὶ Ἡσδ. Θγν. 660. » . . ἄψορρον ἐξαῦτις ἀμειλίκτων ἀπὸ δεσμῶν ἤλυθαμεν . . . . ἀνάελπτα παθόντας.« Επιρρ. Ἀμείλικτα, παρὰ Λουκ.

Ἀμείλιχος = ἀμείλικτος. »Ἀΐδης τοι ἀμείλιχος, ἠδ' ἀδάμαστος.« Ἰλ. Ι, 158.

Ἀμεινότερος, ἔρα, ερον· ἰδὲ ἀμείνων.

Ἀμεινόνως· Επρρ. ἰδὲ ἀμείνων.

Ἀμείνων· ὁ, ἡ· γενκ. ονος· ἀνώμλ. συγκρ. τοῦ, ἀγαθός· ἀγαθώτερος, ἰσχυρότερος, ἀνδρειότερος (καλήτερος, δυνατώτερος) παρ' Ὁμ. ἐπὶ προσώπων· δεξιώτερος, ἐπιτηδειότερος, δικαιότερος, δεινότερος, ἐναργέστερος · — πάντα κατ' ἠθικὴν καὶ νοερὰν σημασίαν — (καλήτερος)· ἐπὶ τὸ πλεῖστον μετ' ἀπαρεμφ. »ἀμείνων μαντεύεσθαι, προνοῆσαι« καὶ τ. τ. Ἐπὶ πραγμάτων δὲ, κρείττων, καλλίων, χρησιμώτερος, ἁρμοδιώτερος, μᾶλλον συμφέρων, ὠφελιμώτερος (καλήτερος, συμφερώτερος) »Ἀλλὰ καὶ ὣς ἐθέλω δόμεναι πάλιν, εἰ τόγ' ἄμεινον.« Ἰλδ. Α. 116. καὶ 274. » . . . ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον·« καὶ Γ, 11. » . εὖτ' ὄρεος κορυφῇσι νότος κατέχευεν ὀμίχλην ποιμέσιν οὔτι φίλην, κλέπτῃ δέ τε νυκτὸς ἀμείνω« καὶ Θεό. Δ. » . . . ὥσπερ ἔμοιγε ἄμεινον δοκεῖ εἶναι.« Πληθ. οἱ ἀμείνονες = ἐγκριτώτεροι, προέχοντες· (οἱ μεγαλήτεροι, οἱ πρῶτοι). Επρρ. ἀμεινόνως. Πλάτ. Παρὰ Φρυχ. Ἐκλ. σλδ. 54. Ἐν Ἀνεκδ. Β. σλ. 532. εὕρηται νέος συγκρ. τύπος ἀμεινότερος, ρα, ρον.

Ἀμείρω· Μλ. ερσω, ερῶ· (μείρομαι) ἄμοιρον, ἀμέτοχον ποιῶ· ἀποστερῶ· ἀφαιροῦμαι, (κάμνω τινὰ νὰ μὴν ἔχῃ μέρος εἰς τίποτε, νὰ μὴ λάβῃ μοιρασιὰ· τὸν ὑστερῶ ἀπὸ τίποτε). »Ταύτας δὲ μή ποτε τιμᾶς ἀμεῖρειν γονέων βίον πεπρωμένον« Πνδ. Πθ. 6, 27. Παρ' Ὁμ. δὲ καὶ παθητ. »Ἀλλ' εἰσέρχεο τεῖχος . . . . ὄφρα σαώσῃς Τρῶας καὶ Τρῳάς, μηδὲ μέγα κῦδος ὀρέξῃς Πηλεΐδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς·« Ἰλδ. Χ, 58.

Ἄμειψις, εως, ἡ (ἀμείβω)· Ἀλλαγή, ἀμοιβή, μετάλλαξις, ἐναλλαγή, ἀνταλλαγή: μετάληψις, μεταβολή, ἀλλοίωσις· ἀντίδοσις, ἀνταπόδοσις χάριτος· ἀπόδοσις, χάρις· ἐκδικία, ἐκδίκησις: ἀπόκρισις· (ἀλλαξία· μετάβαλμα· ἀνταπόδομα· εὐχαριστία· ἐκδίκησμα).

Ἀμειψικοσμέω = μετακοσμοῦμαι· Δμέρ.

Ἀμειψικόσμη = μετακόσμησις.

Ἀμειψιρυσμέω (ἀμείβω, ῥυσμός) = μεταμορφοῦμαι· Δμκρ. ὅθεν

Ἀμειψιρυσμίη = μεταμόρφωσις· Δμκρ. παρὰ Λαερτ. 47.

Ἀμειψίχρωος, καὶ συνρ. χρους ὁ, ἡ· τὸ χρῶμα ἀλλοιῶν· (ὅστις ἀλλάζει τὴν βαφήν, τὸ χρώματου) Ἡσχ.

Ἀμείωτος, ὁ, ἡ (μειόω) μὴ ἐλαττούμενος, μὴ μειούμενος· μὴ σμικρυνόμενος· μὴ ἐλαττωθείς, μὴ μειωθεὶς μὴ σμικρυνθείς· ἀκέραιος· ἄρτιος· ὁλοτελής, ὁλόκληρος· (ὅστις δὲν ὀλιγοστεύει, δὲν μικραίνει, δὲν γίνεται ὀλιγώτερος ἢ μικρότερος· δὲν ὀλιγόστευσε, δὲν ἐμικροτερεύθηκε· ἀκέριος· σωστός).

Ἀμέλγω· Μλ. ἔλξω· — ἀρμέγω — »ἑζόμενος δ' ἤμελγεν ὄϊς καὶ μηκάδας αἶγας« Ὀδσ. Ι, 238. καὶ 244. καὶ 308. καὶ παθητ. »Τρῶες δ', ὥστ' ὄϊες . . . μυρίαι ἑστήκασιν, ἀμελγόμεναι γάλα λευκόν . . .« Ἰλδ. Δ, 434. Μέσως· θηλάζομαι (βυζάνω, δίνω νὰ βυζάξῃ) 2) ἐν γένει, βδάλλω, μυζῶ, χυλῶ· ῥοφῶ· (βυζάνω· ζουλίζω ἢ σφίγγωντι καὶ εὐγάνω τὸ ζουμίτου· ῥουφῶ)· Ἀμελ. φίλτρον· Βίων· Ἀμελ. νέκταρ. γάνος ἐκ βοτρύων. Ανθλγ. 3) τρπκ. ἐπὶ ἀπατεώνων, κολακων, τυράννων· ὡς καὶ παρ' ἡμῖν — »Ἆρα δῆτ' οὐκ ἀπ' ἀρχῆς ὁ δῆμος ἀναίδειαν, ἥπερ μόνη προστατεῖ τῶν ῥητόρων, ᾗ σὺ πιστεύων ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους, πρῶτος ὤν« Ἀριστφ. Ἱππ. 326. καὶ Παροιμ. »Τὴν

παροῦσαν ἄμελγε, τί τὸν φεύγοντα διώκεις;« Θεκρ. Κυκλ. ὡς τὸ παρ' ἡμῖν· μὴν ἀφίνεις τὰ ἥμερα καὶ κυνηγῆς τ' ἄγρια· (ἔστι δὲ ἡ λέξ. συγγεν. τῷ, ἀμέρδω).

Ἀμελδέω· ἴδε ἀμελέω.

Ἀμέλει· κυρίως μὲν προστακτ. β'. πρσπ. τοῦ ἀμελέω· ἀμερίμνει, μὴ μελέτω σοι περί τινος (μὴ σοὶ μέλει, μὴ φοβῆσαι, μὴ φροντίζεις) λόγου χρατικοῦ, παρὰ Ξνφ. Κπ. 5, 2, 13. »... δεῖξον δή μοι, ποῦ οὗτοί εἰσιν, ἵνα ... Ἀμέλει, ἔφη, οὐδὲν ἐμοῦ σε δεήσει πυνθάνεσθαι« ὅθεν ἐπιῤῥηματικῶς βεβαιωτικὸν ἐστι· πάντως, ὄντως, βεβαίως, καὶ μάλα· πῶς γὰρ οὔ; — καταφατικῶς — μάλιστά γε· (βέβαια, μὲ τὰ σωστά, μάλιστα, χωρὶς ἄλλο)· ἐνιοτε καὶ εἰρωνικῶς· Ἀρστφ. Βατ. πῶς δοῦλος ὢν καὶ θνητός, Ἀλκμήνης ἔσει; ἀμέλει, καλῶς· ἔχ' αὐτ'· ἴσως γάρ τοι ποτε ἐμοῦ δεηθείης ἄν, εἰ Θεός, θέλει.

Ἀμέλεια, ἡ (ἀμελής) ἄνεσις, ἀτέλεια, εὐωρία· (ἀφροντισιά, ἀταραξιά, ἀδιαφορία)· ὁ τρόπος, τὸ ἦθος (ὁ χαρακτήρας) τοῦ ἀμελοῦς· »οἱ θεοί σε ἐν ἀμελείᾳ κατατίθενται« Ξνφ. Ἀπμ. Α, 4. καὶ Εὐρπ. »ἀμελεία δὲ ταῦτα«.

Ἀμελετησία, ἡ (μελετάω)· Ἔλλειψις μελέτης, ἀσκήσεως, τριβῆς· ἀτημελία, ὀλιγωρία (ἀγυμνασία· τὸ νὰ μὴν ἐπιμελῆται, τὸ νὰ καταφρονῇ, νὰ φροντίζῃ τις ὀλίγον ἢ καθόλου διὰ τίποτα) Ἀῤῥ. Ἐπικ. Β', 16.

Ἀμελέτητος, ὁ, ἡ (μελετάω)· μὴ μελετῶν, μὴ ἀσκούμενος, ἀπαρασκεύαστος, μὴ προγεγυμνασμένος, μὴ ἐπιτηδευόμενος ἔν τινι· (ὅστις δὲν γυμνάζεται, δὲν προετοιμάζεται εἰς κανένα πρᾶγμα)· »... ἀσκεῖν, ὅπως μὴ ἀμελετήτους ὄντας ἀγωνίζεσθαι δέῃ« Ξνφ. Ἱππ. Α', 19. Ἐπῤῥ. ἀμελετήτως· »ἀμελετήτως ἔχω τινός« (εἶμαι ἀγύμναστος, δὲν ἐγυμνάσθηκα εἰς τίποτε).

Ἀμελέω· Μλ. λήσω· (ἀμελής) ἀμελῶς ἔχω τινός· οὐ μεριμνῶ, οὐ φροντίζω, ὀλιγωρῶ, ἀκηδῶ τινος (δὲν ἐπιμελοῦμαι, δὲν φροντίζω, ἀδιαφορῶ, καταφρονῶ, δὲν μοὶ μέλει διὰ τίποτε)· Ὁ Ὅμ. ἐν Ἰλδ. μόνον τῇ λέξει χρώμενος, συντάσσει αὐτὴν ἀεὶ τῷ ἀρνητικῷ οὐ· »Αἴας δ' οὐκ ἀμέλησε, κασιγνήτοιο πεσόντος« Θ, 330. τοῦτ' ἔστιν οὐκ ὠλιγώρησε τοῦ ὑπερασπίσαι αὐτόν· ἐν Ρ, 9. δὲ »Οὐδ' ἄρα Πάνθου υἱὸς ἐϋμμελίης ἀμέλησε Πατρόκλοιο πεσόντος ἀμύμονος« δηλ. ἐν ὀφθαλμοῖς εἶχε, προσεῖχεν εἰς τὸ σκυλεῦσαι αὐτόν· 2) Παρὰ τοῖς Πεζογρφ. συνήθως μεταβατικὸν μετὰ γενκ. Ἀφροντιστῶ, οὐκ ἐπιμελοῦμαί τινος, οὐ σκουδάζω περί τι· οὐ προσέχω τὸν νοῦν τινι· ἐν ἀμελείᾳ τίθεμαί τι· ἀπολείπομαί τι· ἀπολείπομαί τινος, παραλείπω τι· (δὲν φροντίζω, δὲν δίδω προσοχήν, ἀφίνω, τραβῶ χέρι, δὲν κάμνω) »ἀμελῶ ἀσκήσεως, τοῦ ὀργίζεσθαι« κλ. τ. τ. »ἀμελήσας τοῦ ὀργίζεσθαι, ἐπειρῶ εὐποιήσας πραΰνειν« Ξνφ. Ἀπμ. Β, 3. καὶ Αἰσχ. »οὐκ ἠμέλητας τῶν τοιούτων τῷ νομοθέτῃ« (ἀπροσώπως)· Παρὰ Λυκοῦργ. δὲ, σλ. 137. ὑπὸ Reiski καὶ μετὰ δοτκ. Παθητκ. ὀλιγωροῦμαι, ἐν ἀμελείᾳ εἰμί, ἢ κεῖμαι, οὐ θεραπεύομαι, ἀφροντιστοῦσι περὶ ἐμοῦ· (μὲ ἀμελοῦν, μὲ καταφρονοῦν, δὲν τοὺς μέλει, δὲν φροντίζουν, δὲν φωτοῦν δι' ἐμένα)· »οὐδὲν τούτων ἀμελεῖται« Ἰσχρ.

Ἀμελής, ὁ, ἡ· (μέλει) ἄφροντις, ἀμέριμνος, ἄωρος, μαθύμων, ῥᾴθυμος· (ἀφρόντιστος, ὀκνηρός) 2) ἀνεπιμέλητος, παρημελημένος, ἐν ἀμελείᾳ κείμενος, ἀθεράπευτος, ἀνεπίσκεπτος, ἀτιμώμενος, ὀλιγωρούμενος· (ἀμελημένος, ἀπεριποίητος, καταφρονεμένος)· ὅθεν ἀπροσώπως· ἀμελές ἐστί μοι· οὐ μέλει μοι· »οὐδὲν τούτων ἀμελές« καὶ οὐδ' αὐτῷ τῷ πλουσίῳ ἀμελὲς τοῦτο· »Ἰσχρ. (δὲν μοὶ μέλει) Ἐπῤῥ. ἀμελῶς· ἀμελῶς ἔχω = ἀμελῶ· »ἀμελῶς ἔχειν περὶ Θεοὺς καὶ γονέας« Ξνφ. Κπ. Α, 2. καὶ ἀμελέστερον· ἐπιῤῥηματκ. Ξνφ. Ἑλλ. δ', 8.

Ἀμέλης, ητος, ὁ (μέλει) Ποταμὸς ἐν Ἅδου· »... σκηνᾶσθαι οὖν σφᾶς ἤδη ἑσπέρας γιγνομένης παρὰ τὸν Ἀμέλητα ποταμόν, οὗ τὸ ὕδωρ ἀγγεῖον οὐδὲν στέγει...« Πλατ. Πλτ. 10, 15. σλ. 621. Α.

Ἀμελησία, ἡ· καὶ

Ἀμέλησις· ἡ = Ἀμέλεια.

Ἀμελητέος, έα· έον· θετκ. ἐπῤῥ. ἢ ἐπῤῥματκ. ἐπιθτ. Ἀμελείας ἄξιος (ὅστις ἀξίζει νὰ μὴ τὸν ἐπιμελοῦνται, νὰ μὴ φροντίζουν δι' αὐτόν) καὶ ἀμελητέον ἀπῤῥμτκ. δεῖ ἢ ἔξον ἀμελεῖν· (πρέπει νὰ μὴ φροντίζῃ τις, νὰ μὴ τὸν μέλει)· »τῶν τοιούτων ἀμελητέον« Ἰσχρ. εἰς Δῆμ.

Ἀμελητί· Ἐπῤῥ. παρὰ τὸ ἀμέλητος = ἀμελῶς (ἀμελημένα, ἀφρόντιστα). Παρὰ Κυριλ. δὲ ἀντὶ ἀμελλητί = ἀνυπερθέτως, ταχέως (γλίγωρα, χωρὶς χαμὸν καιροῦ, χωρὶς χασομέρι).

Ἀμέλητος, ὁ, ἡ (ἀμελέω) = ἀμελής, κατ' ἀμφοτέρας τὰς σημασίας αὐτοῦ. »Πολλοῖς ἀνθρώποις γλώσσῃ θύραι οὐκ ἐπίκεινται ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα μέλει« Θγν. 413.

Ἀμελία, ἡ· ποιητκ. ἀντὶ ἀμέλεια· Γρηγ. σλ. 55. ὑπὸ Schaef.

Ἀμελλητί· Ἐπῤῥ. παρὰ τὸ ἀμέλλητος· ἄνευ μελλήσεως ἢ ἀναβολῆς· ἀνυπερθέτως (χωρὶς ἀργοπορίαν, εὐθὺς, γλίγωρα).

Ἀμέλλητος, ὁ, ἡ· (μέλλω) μὴ ἀναβάλλων, μὴ παρέλκων, εἰς μῆκος μὴ προάγων, μὴ μηκύνων, μὴ βραδύνων· μὴ ἀναβληθείς, μὴ παρελκυσθείς, εἰς μῆκος μὴ προαχθείς· ἀνυπέρθετος, ἀπροφάσιστος, πρόθυμος· (ὅστις δὲν ἀργοπορεῖ, δὲν ἀφίνει τὸ πρᾶγμα ὀπίσω, δὲν τραβίζει εἰς μάκρος· ἢ δὲν ἀργοπορήθηκεν, δὲν τραβίχθηκεν εἰς μάκρος· δὲν πρέπει νὰ τραβιχθῇ εἰς μάκρος, νὰ ἀργοπορηθῇ· δὲν μεταχειρίζεται, ἢ δὲν ἐμεταχειρίσθηκε προφάσεις· ἄοκνος, πρόθυμος) »... ἠξίου γὰρ ἀμέλλητον εἶναι τὴν πρὸς τὸ καλὸν ὁρμὴν« Λουκν. εἰς Νίγρ. Ἐπῤῥ. ἀμελλήτως.

Ἄμελξις, εως· ἡ (ἀμέλγω) τὸ ἀμέλγειν· (ἄρμεγμα) »εἰς ἄμελξιν γάλακτος αἶγας Σκυρίας« Ηνδ. Αψ.

Ἀμελῴδητος, ὁ, ἡ (μελῳδέω) ἄνευ μελῳδίας (χωρὶς ψάλσιμον, χωρὶς ψαλμῳδίαν)· Ἀρτεξ.

Ἄμεμπτος, ὁ, ἡ· (μέμφομαι) ἀμύμων. ἀμωμός, ἀνεπίληπτος, ἀκατάψεκτος, ἀνέγκλητος· ἐντελῶς χρηστὸς ἢ καλός· ᾧ οὐδείς τι μέμφεσθαι, ἢ ᾧ οὐδεὶς κακίζειν ἔχει· (ἀκατηγόρητος· τὸν ὁποῖον κανεὶς δὲν κατηγόρησε, ἢ δὲν εἶπε κακὸν δι' αὐτόν· τὸν ὁποῖον δὲν ἠμπορεῖ κανεὶς νὰ κατηγορήσῃ ἢ νὰ εἰπῇ κακὸν δι' αὐτόν· καθόλου καλός, ἢ εὔμορφος)· ὅθεν ἐπαρκής, ἐξαρκής, ἀφειδής· (ἀρκετός, πλουσιοπάροχος· τὸ τουρκοβ. μπόλικος, καί, χωρὶς κουσοῦρι) »Οὐ γὰρ μόνον δεῖπνον ἄμεμπτον παρέθηκας, ἀλλὰ καὶ θεάματα καὶ ἀκροάματα ἥδιστα παρέχεις« Ξνφ. Συμ. 2, 2. καὶ Κπ. 5, 5. 32. »... ἆρ' ἂν δύναιο τὸν τοιοῦτον ἄμεμπτον φίλον νομίζειν;« καὶ Ἀπμ. γ', 1, 2. »οὐ ῥᾴδιον ἐνὶ ἀνθρώπῳ περιτυχεῖν ἄμεμπτα πάντα ἔχοντι« 2) ἐνεργτ. μὴ μεμφόμενος, μὴ φιλομεμφής, μὴ φιλόψογος, μὴ φιλεπιτιμητής, μὴ ψέκτης· εὔκολος, αὐτάρκης· (ὅστις δὲν κατηγορεῖ, δὲν ἀγαπᾷ ἢ δὲν συνειθίζει νὰ κατηγορῇ, νὰ κατακρίνῃ· εὐχαριστημένος) »... τοῖς δ' ἀπιοῦσι δωρησάμενος πολλά, καὶ ἀμέμπτους ποιησάμενος .... ἀπεπέμψατο« Ξνφ. 8, 28. Ἐπῤῥ. ἀμέμπτως· κατ' ἀμφοτέρας τὰς σημασίας.

Ἀμεμφής, ὁ, ἡ· = ἄμεμπτος· ποιητκ. »... δύο δὲ γλαυκῶπες αὐτὸν δαιμόνων βουλαῖσιν ἐθρέψαντο δράκοντες ἀμεμφεῖ ἰῷ μελισσᾶν καδόμενοι« Πνδ. Ὀλ. 6, 79. Παρὰ Λογγῖν. δὲ σπανίως ἐν χρήσει· Πλουτ. 4, σλ. 410. ὑπὸ Schaef.

Ἀμεμφία, ἡ· τὸ μὴ μέμφεσθαι· (τὸ νὰ μὴν ἀγαπᾷ, νὰ μὴ συνειθίζῃ τις νὰ κατηγορῇ, κατακρίνῃ)· Ἦθος καὶ τρόπος τοῦ ἀμέμπτου· Σχολσт. Ἀρστφ. Πλ. 2) τὸ μομφῆς ἀνεπίδεκτα καθεστῶτά τινος, αὐτάρκεια (ὅταν δὲν ἔχῃ τις αἰτίαν νὰ παραπονεθῇ· ὅταν εὐχαριστῆται μὲ τὴν κατάστασίν του) »... οὐκ ἀμεμφία φίλοις« παρ' Αἰσχλ.

Ἀμεμψίμοιρος, ὁ, ἡ· (μεμψίμοιρος)· τῇ ἑαυτοῦ μοίρᾳ ἀγαπῶν ἢ στέργων· τὴν ἑαυτοῦ τύχην ἀγαπητῶς ἔχων· (ὅστις εὐχαριστεῖται, δὲν παραπονεῖται διὰ τὴν μοῖραν ἢ τύχην του).

Ἀμέναι· Ἐπι. ἀπαρεμφ. Ἐνεστ. ἀντὶ τοῦ ἀέμεναι· ἄειν, παρὰ τὸ ἄω· κορεσθῆναι, χορτάζειν· Ἰλδ. Φ. 70. »... ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ ἔστη, ἱεμένη χροὸς ἄμμεναι ἀνδρομέοιο« Παραβλ. Δξ. Βερ. 2, σλ. 130. (– ᴗ –).

Ἀμενηνός· ἡ, ὀν (μένος) ἀσθενής, ἄῤῥωστος, ἀδύνατος, ἀναλκὴς· ἄθυμος, ὑφειμένος· ἐξίτηλος· λειπόθυμος, λειπόψυχος (ἀδύνατος, ἀκαμάς, φοβιτζάρης· φθαρτός, ὀλιγόψυχος· λειποθυμημένος, ψυχομαχῶν) ὁ Ὅμηρος χρῆται τῇ λέξει ἐπὶ τετρωμένων, τραυματιῶν· (πληγωμένων)· νεκρῶν, καὶ ἐπὶ ὀνείρων· (ὀνείρατα) »... ἤ τε κε δηρὸν αὐτοῦ πήματ' ἔπασχον ἐν αἰνῇσι νεκάδεσσιν, ἤ κεν ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι« Ἰλδ. Ε, 887. »πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα ...« Ὀδσ. Κ, 521. καὶ 536. καὶ Τ, 561. »δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων« καὶ Τμ. Δμτ. 352. »... ἐπεὶ μέγα μήδεται ἔργον φθῖσαι φῦλ' ἀμενηνὰ χαμαιγενέων ἀνθρώπων« καὶ Σοφοκλ. Αἰ· 861. ἀφ' οὗ

Ἀμενηνόω· Μλ. ώσω· ἐξασθενίζω, χαλῶ, παραλύω, συστέλλω, μειῶ· ματαιῶ· (κάμνω ἀδύνατον, ξετεντώνω, ὀλιγοστεύω, ματαιόνω)· »... ἀλλ' οὐ λῆθ' Ἀδάμαντα ... ἐγγύθεν ὁρμηθείς· ἀμενήνωσεν δέ οἱ αἰχμὴν κυανοχαῖτα Ποσειδάων ...« Ἰλδ. Ν, 562.

Ἀμενής, ὁ, ἡ· (μένος) = ἀμενηνός· Εὐρπ. Ἱκτ.

Ἀμέργω· Μλ. ξω· ἐκπιέζω, ἐκθλίβω, ἐκστραγγίζω (ζουλίζω ἢ σφίγγω νὰ εὐγάλω ζουμί, στραγγίζω)· ὡς τὸ ἀμέλγω· 2) ἀποψήχω, ἀπομάττω, ἀποψῶ, ἀποτρίβω· ἀποδρέπω, ἀποδρέπομαι, ἀπολέγω, καρπολογῶ· (τρίβω μὲ τὴν παλάμην τοῦ χεριοῦ· σφογγίζω, μαζόνω μὲ τὸ χέρι, π. χ. χορτάρι, λουλούδια καὶ τ. τ. μαζόνω, πωρικὰ ἀπὸ τὸ δένδρον) »... ἦλθεν δ' ἑσπέριον εἰς αὐλάν, χρυσέων πετάλων ἄπο μηλοφόρον χερὶ καρπὸν ἀμέρξων ...« Εὐρπ. Ἡρ. μαιν. 396. Μέσ. ἀμέργομαι· λαμβάνω, δράττομαι· (πέρνω, πιάνω, μαζόνω τίποτε διὰ χειρός μου, διὰ τὸν ἑαυτόν μου) παρὰ τὸ ἅμα καὶ εἴργω· πολλάκις τῷ ἀμέλγω καὶ ἀμέρδω συγχεόμενον· εἰσὶ δὲ πάντα ταῦτα ἀλλήλοις τε καὶ τῷ ὀμόργνυμι συγγενῆ.

Ἀμέρδω· Μλ. σω· (μείρομαι, ἀμείρω) στερῶ, ἀποστερῶ, ἀφαιρῶ, ἀφαιροῦμαί τινα τὸ αὐτῷ ἐπιβάλλον μέρος, ἢ μοῖραν· ἢ τοῦ αὐτῷ ἐπιβάλλοντος μέρους· (ὑστερῶ, παίρνω τὸ μοιράδι κάποιοῦ)· »... εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας ἄμερσε πάτρας·« Πινδ. Ὀλ. 12, 24. ἐπὶ δὲ καὶ πραγμάτων, ἅπερ ἑαυτοῦ εἶναι ἐξαιτεῖ τις ἀξιοῦν (τὰ ὁποῖα ἔχει τις δίκαιον νὰ τὰ λέγῃ ἰδικά του)· Ἰλ. Π, 53. »Ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει, ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι, καὶ ...« τοῦ στερῆται δηλ. αὐτὸν τοῦ αὐτῷ ὥσπερ καὶ παντὶ ἄλλῳ προσήκοντος· Ἔτι δὲ καὶ διττῇ αἰτιατ. τοῦ προσ. καὶ τοῦ πράγμ. »... γεράων τ' ἐρικυδέα τιμὴν καὶ θυσιῶν, ἤμερσαν Ὀλύμπια δώματ' ἔχοντας...« Ὁμ. Ὑμ. Δμτ. 312· Παθητ. ἀμέρδομαι· στέρησίν τινος πάσχω, ὅθεν στεροῦμαι, ἐνδεῶς ἔχω, ἐνδεὴς εἰμί τινος· »Ἀ δειλὲ ξείνων .... οὐκ ἀγαπᾷς, ὃ ἕκηλος ὑπερφιάλοισι μεθ' ἡμῖν δαίνυσαι; οὐδέ τι δαιτὸς ἀμέρδεαι ...« Ὀδυ. Φ. 290. καὶ Ἰλ. Χ, 58. »Ἀλλ' εἰσέρχεο τεῖχος .... μηδὲ μέγα κῦδος ὀρέξῃς, Πηλείδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς ..« 2) Τοῦ φωτὸς τῶν ὀφθαλμῶν, τῆς ζωῆς, τῆς λάμψεως στερῶ· »... τὸν πέρι Μοῦσ' ἐφίλησε ..... ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν·« Θ, 64. καὶ Ἡσ. Ἀσπ. 332. »οὔτ' ἂν δὴ Κύπρου γλυκερῆς αἰῶνος ἀμέρσῃς, τὸν μὲν ἔπειτ' ...« καὶ Ἰλ. Ν, 340. »..ὄσσε δ' ἄμερδεν αὐγὴ χαλκείη κορύθων ἀπολαμπομενάων ...« καὶ Ὀδυ. Τ, 18. »... ὄφρα κεν ἐς θάλαμον καταθείομαι ἔντεα πατρὸς καλά, τά μοι κατὰ οἶκον ἀκηδέα καπνὸς ἀμέρδει ..« 3) Παρὰ τοῖς μεταγενεστ. δέ, ἁρπάζειν, ἀφαιρεῖν, βλάπτειν· δοτικῇ τοῦ πραγμτ. »... ἐὰν δ' ἀπὸ φέγγος ἀμέρσαν αὐτοφόνοι ..« Ὀππ. Κυν. α', 768. καὶ Ἀπολ. 335. ὑπὸ Jac. Παράβλ. ἀμέργω· Περὶ τῆς Ἐτυμλγ. δέ, ἰδὲ καὶ Βουτμ. Λξ. 1, σλ. 137.

Ἀμερής, ὁ, ἡ· (μέρος) ἄνευ μερῶν, ἀμέριστος· ὁλομερής, ὁλοτελής, ὁλόκληρος· ὅλος· (χωρὶς νὰ εἶναι μοιρασμένος, κομματιασμένος· σωστός, ἀκέριος)· »σημεῖα τινὰ ἀμερῆ καὶ γραμμὰς ἀπλατεῖς·« Λουκ. καὶ Γρηγ. περὶ τῆς ἁγ. Τριάδος· »ἀμερής«. Παρὰ Λουκ. δὲ περὶ Διαβ. ἐπὶ ἀντὶ τοῦ, ἀπροσωπολήπτως· »δικαίας καὶ ἀμερεῖς ποιεῖσθαι τὰς κρίσεις·« Ἐπρῤ. ἀμερῶς· ἀφ' οὗ

Ἀμερία, ἡ· τὸ μὴ διαμερίζεσθαι, μὴ διατέμνεσθαι εἰς μέρη· τὸ ἀμέριστον· (τὸ νὰ μὴ κόπτεται εἰς κομμάτια, νὰ μὴ μοιράζηται· ἀμοίραστον, ἀκέριον).

Ἀμεριαῖος, αία, αῖον· πάνυ σμικρός, μερισμοῦ, ἢ διαιρέσεως ἀνεπίδεκτος (πολύ, καθόλου μικρός, καὶ διὰ τοῦτο εἶναι ἀδύνατον νὰ χωρισθῇ εἰς κομμάτια)· ὡς τό, »ἀκαριαῖος καὶ ἀμεριαία εὐδαιμονία·« Χρύσ. παρὰ Πλουτ. ΙΘ, σλ. 327.

Ἀμεριμνάω· Μλ. ήσω· (ἀμέριμνος) ἄνευ μερίμνης, ἢ ἀμέριμνος εἰμί· ἀφροντιστῶ· (δὲν φροντίζω, δὲν βασανίζομαι, δὲν μὲ κόφτει τίποτε, δὲν σκοτίζομαι)· 2) ἀμελοῦμαι, ὀλιγωροῦμαι· ἀφ' οὗ

Ἀμεριμνησία, ἡ = ἀμεριμνία.

Ἀμεριμνία, ἡ· ἔλλειψις μερίμνης, ἀφροντισία, εὐηθία, ἄνεσις, εὐκοχία· (ἔλλειψις ἀπὸ φροντίδας, ἀπὸ βάσανα, ἀφροντισιά, ἀβασανισιά, ἀνάπαυσις) »... ἔδωκέ τε γεωργοῦσιν ἀτέλειαν, καὶ διὰ παντὸς δεσποτείας ἀμεριμνίαν« Ἡρδν. ἀπὸ τοῦ

Ἀμέριμνος, ὁ, ἡ· (μέριμνα) μὴ μεριμνῶν, ἄφροντις, ἀφροντιστῶν, εὔκοχος, ἀκηδής, ἀνεπίστρεπτος (ἀφρόντιστος, χωρὶς φροντίδες καὶ ζάλης, ἥσυχος) »εἰς σώφρονα καὶ ἀμέριμνον βίον μεταχθέντες« Ἡρδν. Β. 2) περὶ οὗ οὐδεὶς φροντίζει, ὀλιγωρούμενος· (καταφρονεμένος, διὰ τὸν ὁποῖον δὲν φροντίζει, τὸν ὁποῖον δὲν μετράει κανεὶς διὰ τίποτε)· »..κεῖμαι δ' ἀμέριμνος οὕτως ἀεὶ πυκνοῖς δρόσοις τεγγόμενος κόμας λυγρᾶς·« Σοφ. Αἴας, 1168. 3) τὸ ἀμέριμνον = ἀμεριμνία· Ἡρδν. »ἐκείνῳ δὲ παρέξοντα τῆς βασιλείας τὸ ἀνανέγκλητόν τε καὶ ἀμέριμνον«· Ἐπρῤ. ἀμερίμνως.

Ἀμέριος Δωρ. ἀντὶ ἡμέριος.

Ἀμέριστος, ὁ, ἡ· (μερίζω) μὴ μεριζόμενος, μὴ μερισθεὶς (ὅστις δὲν ἠμπορεῖ νὰ μοιρασθῇ, δὲν ἐμοιράσθηκε) ἁπλοῦς· καὶ = ἀμερής.

Ἀμερμηρεὶ καὶ ἀμερμηρί· (μέρμηρα) Ἐπῤῥμ. = ἀμερίμνως.

Ἄμερσα, ἀμέρσαι· ἀόρστ. α'. τοῦ ἀμέρδω· Ὁμ.

Ἀμερσίγαμος, ὁ, ἡ (ἀμέρδω, γάμος) γάμου στερῶν (ὅστις κάμνει τινὰ νὰ μὴν ὑπανδρεύηται) Νον.

Ἀμερσίνοος, ὁ, ἡ· (νοῦς) καὶ

Ἀμερσίφρων, ὁ, ἡ· γεν. ονος (φρὴν) τὸν νοῦν, τὰς φρένας ἀφαιρῶν (ὅστις παίρνει, συνεπαίρνει τὸν νοῦν τινος, τὸν εὐγάνει ἀπὸ τὰς φρένας του) »ἀμερσίνοος λύσσα.«

Ἄμεσος, ὁ, ἡ· (μέσος) ἄνευ μέσου (μὲ χωρὶς μέσον, χωρὶς μεσολάβητρα). Παρὰ Μαθημτ. δέ, ἄμεσος πρότασις, ἧς ἡ ἀπόδειξις οὐδενὸς μέσου χρῄζει. Ἐπρῤ. ἀμέσως (ἀμεσολάβητα).

Ἀμετάβατος, ὁ, ἡ· (μεταβαίνω) μὴ μεταβαίνων (ὅστις δὲν ἀπερνάει ἀπὸ ἕνα μέρος εἰς ἄλλο) »... Οὐκ ἔστι δ' ἀκίνητος (ὁ ἥλιος) οὐδ' ἀμετάβατος.« Κλεομδ. Τὸ ἀμετάβατον ῥῆμα, παρὰ τοῖς Γραμματ. = οὐδέτερον· οὗ ἡ ἐνέργεια ἀμετάβατος ἐπ' ἄλλο τι. Ἐπρῤ. ἀμεταβάτως.

Ἀμεταβλησία, ἡ· (ἀμετάβλητος) τὸ μὴ μεταβάλλεσθαι· ἀμετατροπία, ἀδιατρεψία, τὸ ἀμετάλλακτον· (τὸ νὰ μὴ μεταβάλλεται, μὴ ἀλλάζῃ), μὴ γίνεται ἀλλοιότροπος τις ἤ τι).

Ἀμετάβλητος, ὁ, ἡ· (μεταβάλλω) ἀδιάτρεπτος, ἀμετάτρεπτος, ἀμετάλλακτος, ἀμεταποίητος, ἀναλλοίωτος· μὴ μεταβαλλόμενος, μὴ μεταβληθεὶς (ἀμετάβαλτος· ὅστις δὲν μεταβάλλεται, δὲν γίνεται ἀλλοιώτικος, δὲν ἀλλάζει· ἢ δὲν ἐμεταβλήθηκεν, δὲν ἄλλαξεν, δὲν ἔγινεν ἀλλοιώτικος) Ἐπρῤ. ἀμεταβλήτως.

Ἀμετάβολος, ὁ, ἡ· (μεταβολὴ) = τῷ προηγουμένῳ. Παρὰ Γραμματ. δέ, ἀμετάβολα τὰ ἐν συντάξει λόγου, ἢ λέξεως συνθέσει μὴ τρεπόμενα γράμματα.

Ἀμεταγνώστος, ὁ, ἡ· (μεταγιγνώσκω) ἀμετάθετος, ἐπίμονος, ἄτροπος, ἀμετάκλητος (ὅστις δὲν ἀλλάζει τὴν γνώμην του) »ἀμετάγνωστον μῖσος.« Ἰώσπ. Ἀρχ. 16, 10. 2) τὸ μεταθέσεως, παλιλλογίας, ἢ μετανοίας μὴ χρῇζον· (ὅ,τι δὲν εἶναι χρεία νὰ τὸ μετανοήσῃ τις.)

Ἀμετάδοτος, ὁ, ἡ· (μεταδίδωμι) μὴ μεταδιδόμενος, μὴ ἀνακοινούμενος, μὴ μεταδοθείς, μὴ ἀνακοινωθεὶς (ὅστις δὲν ἠμπορεῖ νὰ μεταδίδηται, ἀπὸ τὸν ὁποῖον δὲν ἠμπορεῖ τις νὰ δώσῃ μέρος εἰς ἄλλους, δὲν ἐμεταδόθηκε, δὲν ἐδόθηκεν ἀπὸ αὐτὸν μέρος εἰς ἄλλους). 2) ἐνεργτ. μὴ μεταδίδων, μὴ ἀνακοινῶν (ὅστις δὲν μεταδίδει ἀπὸ τίποτε μέρος εἰς ἄλλους). Ἐπρῤ. ἀμεταδότως.

Ἀμετάθετος, ὁ, ἡ (μετατίθημι) μὴ μετατιθέμενος, μὴ μετατεθείς, μὴ μετακινούμενος, μὴ μετακινηθεὶς (ὅστις δὲν μετατίθεται, δὲν ἐμετατέθηκε, δὲν μετακινεῖται, δὲν ἐμετακινήθηκεν ἀπὸ ἕνα εἰς ἄλλο μέρος) ἀκίνητος, ἀμετάτρεπτος (ἀμετάβαλτος) στερεός. Ἐπρῤ. ἀμετακινήτως. Ἰσερ. (ε)

Ἀμετάκλαστος, ὁ, ἡ· (κλάω) ἄκαμπτος, ἄκλαστος, ἀμετάτρεπτος (ὅστις δὲν λυγίζεται, δὲν τσακίζεται, δὲν μεταβάλλεται· δὲν ἐλυγίσθηκε, δὲν ἐτσακίσθηκε, δὲν ἐμεταβλήθηκεν· ἀλύγιστος, ἀτσάκιστος, ἀμετάβαλτος.) »τὸ ἀμετάκλαστόν σου τῆς γνώμης.« περιφραστικ. Ξενφ. Ἐπιστ. α', 2.

Ἀμετάκλητος, ὁ, ἡ· (μετακαλέω) μὴ μετακαλούμενος, μὴ μετακληθείς· (τὸν ὁποῖον δὲν ἠμπορεῖ, δὲν ἠμπόρεσέ τις νὰ μεταλλάξῃ, νὰ μεταγυρίσῃ, νὰ τὸν κάμῃ ἀλλοιώτικον ἀπὸ ὅ,τι ἔγινεν)· »... τὸ πλῆθος ἀμετάκλητον ὁρμὴν ἔσχεν εἰς ...« Πλβ. λα'. καὶ Ἡλιόδ. Αἰθ. β'. »ἀμετάκλητος ὀργή.«

Ἀμετακλινής, ὁ, ἡ· (μετακλίνω) ἄλλως ἄκαμπτος, ἢ ἄτρεπτος (τὸν ὁποῖον δὲν ἠμπορεῖ τις νὰ λυγίσῃ ἀλλέως, νὰ τὸν κάμῃ νὰ κλίνῃ, νὰ γυρίσῃ ἢ νὰ βαίνῃ ἀλλέως.)

Ἀμετάληπτος, ὁ, ἡ· (μεταλαμβάνω) μὴ μεταλαμβανόμενος, ἐμπεριλαμβανόμενος, καὶ ἀπερίληπτος· (ἀπὸ τὸν ὁποῖον δὲν ἠμπορεῖ τις νὰ λάβῃ μοιράδι· τὸν ὁποῖον δὲν ἠμπορεῖ νὰ καταχωρήσῃ εἰς ἄλλο· τὸν ὁποῖον δὲν χωρεῖ ὁ νοῦς τινος) »ἀμετάληπτος λέξις.« Εὐστθ.

Ἀμετάλλακτος, ὁ, ἡ· (μεταλλάσσω) μὴ μεταλλαττόμενος, ἀλλοιούμενος, μὴ μεταλλαχθείς, ἀλλοιωθείς· (τὸν ὁποῖον δὲν ἠμπορεῖ τις νὰ μεταλλάξῃ, νὰ τὸν κάμῃ ἀλλοιώτικον· δὲν μετάλλαξεν, δὲν ἔκαμεν ἀλλοιώτικον. 2) ἀναλλοίωτος, ἀμετάτρεπτος, εὐσταθής· (ὅστις δὲν ἀλλάζει, δὲν γίνεται ἀλλοιώτικος· μένει ἐκεῖνο ὁποῦ εἶναι.) Ἰώσηπ. Ἀρχ. ιη'.

Ἀμεταμέλητος, ὁ, ἡ· (μεταμέλει) μεταμελείας μὴ πρόξενος (ὅστις δὲν προξενεῖ ἢ δὲν προξένησε μετανόησιν, δὲν κάμνει, ἢ δὲν ἔκαμε τὸν ἄνθρωπον νὰ μετανοήσῃ δι' αὐτόν.) 2) μὴ μεταμελούμενος, μὴ μετανοῶν (ὅστις δὲν μετανοεῖ). Ἐπρῤ. ἀμεταμελήτως.

Ἀμετανόητος, ὁ, ἡ· (μετανοέω) = τῷ προηγουμένῳ. Ἐπρῤ. ἀμετανοήτως.

Ἀμετάπειστος, ὁ, ἡ· (μεταπείθω) μὴ μεταπειθόμενος, μὴ μεταπεισθείς· (τοῦ ὁποίου τὴν γνώμην δὲν ἠμπορεῖ τις νὰ ἀλλάξῃ· ὅστις δὲν ἀλλάζει, δὲν ἄλλαξε τὴν γνώμην του) »ἀμετάπειστος συμμαχία.« Διόδ. Σιλ.

Ἀμετάπλαστος, ὁ, ἡ· (μεταπλάσσω) μὴ μεταπλαττόμενος, μὴ μετασχηματιζόμενος, μὴ μεταμορφούμενος· μὴ μεταπλασθείς, μετασχηματισθείς, μεταμορφωθεὶς (ὅστις δὲν ἀλλάζει, δὲν ἄλλαξε τὸ σχῆμα του· τοῦ ὁποίου τὸ σχῆμα δὲν ἠμπόρεσεν, ἢ δὲν ἠμπορεῖ νὰ κάμῃ τις ἀλλοιώτικον).

Ἀμεταποίητος, ὁ, ἡ· (μεταποιέω) μὴ μεταποιούμενος, μὴ μεταβαλλόμενος· μὴ μεταποιηθείς, μὴ μεταβληθείς· (τὸν ὁποῖον δὲν ἠμπορεῖ τις νὰ κάμῃ, ἢ δὲν ἔκαμεν ἀλλοιώτικον).

Ἀμετάπτωτος, ὁ, ἡ· (μεταπίπτω) μὴ ἀνατρεπόμενος, μὴ καταβαλλόμενος· μὴ καταλυόμενος, μὴ ἀκυρούμενος· μὴ ἀνατραπείς, μεταβληθείς, καταλυθείς, ἀκυρωθείς· ἀναλλοίωτος· ἀδιάψευστος· (ὅστις δὲν χαλνᾶται, δὲν χάνει τὸ κῦρος του, δὲν ἐχαλάσθηκε, δὲν ἔχασε τὸ κῦρος του· τὸν ὁποῖον δὲν ἠμπορεῖ τις νὰ χαλάσῃ, μεταβάλλῃ, ἀκυρώσῃ· ἀμετάβαλτος, ἀλάνθαστος) Γαλην.

Ἀμεταπτωσία, ἡ· ἀδιατρεψία, ἀμετατρεψία, ἀμεταβλησία· εὐστάθεια· (τὸ νὰ μὴ μεταβάλληται, νὰ μὴ γίνηται ἀλλοιότικον· σταθερότητα.) Χρύσ. ἀπὸ τοῦ

Ἀμετάπτωτος, ὁ, ἡ· (μεταπίπτω), ἀμετάτρεπτος, βεβαιότατος, σταθερώτατος, ἔμμονος, ἀδιάλειπτος· ἔμπεδος, ἀσφαλής· (τὸν ὁποῖον δὲν ἠμπορεῖ νὰ μεταβάλλῃ τις· καθόλου βέβαιος, φανερός· παντοτεινός, στερεός, σίγουρος) «φίλος ἀμετάπτωτος καὶ βέβαιος.» Πλούτ. Συμ. δ'. Ἐπίῤῥ. ἀμεταπτώτως.

Ἀμετάστατος, ὁ, ἡ· (μεθίστημι) μὴ μεθιστάμενος, μὴ μετασταθείς, ὃν οὐδεὶς μεταστῆται δύναται· ἀναλλοίωτος· ὡς τὸ ἀμετάθετος· (ὅστις δὲν ἀλλάζεται, δὲν γίνεται, δὲν ἔγινεν ἀλλοιότικος· τὸν ὁποῖον δὲν ἠμπορεῖ τις νὰ κάμῃ ἀλλοιότικον) «ἀμετάστατος μέχρι θανάτου.» Πλάτ. Πλτ. Β'.

Ἀμεταστρεπτί καὶ ἀμεταστρεπτί. Ἐπίῤῥ. παρὰ τὸ ἀμετάστρεπτος· ἀμεταστρόφως (ἀμεταγύριστα) «πάσῃ τῶν κακῶν συνουσίας φεῦγε ἀμεταστρεπτί.» Πλατ. Ν. 10.

Ἀμετάστρεπτος, ὁ, ἡ· (μεταστρέφω) μὴ ἐπιστρεφόμενος, ὑποστρεφόμενος, μεταστρεφόμενος· μὴ ἐπιστραφείς, ὑποστραφείς, μεταστραφείς· μὴ διατρεπόμενος, λόγον μὴ ποιούμενός τινος· μὴ φροντίζοντός τινος· (ὅστις δὲν μεταγυρίζεται, δὲν μεταγυρίσθηκε· τὸν ὁποῖον δὲν ἠμπορεῖ νὰ μεταγυρίσῃ τις· ὅστις δὲν ἀ...εται, δὲν τὸν μέλει, ἀδιαφορεῖ).

Ἀμετάστροφος, ὁ, ἡ· (μεταστρέφω) μὴ μεταστρεφόμενος, μετατρεπόμενος, ἀναλλοίωτος· (ὅστις δὲν μεταλλάζεται, τὸν ὁποῖον δὲν ἠμπορεῖ νὰ μεταλλάξῃ, νὰ κάμῃ τις ἀλλοιῶς.) «Λάχεσιν μὲν τὴν πρώτην εἶναι, Κλωθὼ δὲ τὴν δευτέραν· τὴν Ἄτροπον δὲ τρίτην..., ἀπεικασμένα τῇ τῶν κλωσθέντων τῷ πυρί, τὴν ἀμετάστροφον ἀπεργαζομένων δύναμιν.» Πλάτ. Νμ. σλ. 960. D. Ἐπίῤῥ. ἀμεταστρόφως.

Ἀμετάτρεπτος, ὁ, ἡ· (μετατρέπω) ἀμετακίνητος, ἀμετάβλητος (ὅστις δὲν μεταβάλλεται· τὸν ὁποῖον δὲν ἠμπορεῖ νὰ μεταβάλλῃ, δὲν ἐμετάβαλε κανείς.) Ἐπίῤῥ. ἀμετατρέπτως.

Ἀμετατρεπία, ἡ· τὸ μὴ μετατρέπεσθαι, μετακινεῖσθαι, μεταβάλλεσθαι· (τὸ νὰ μὴ μεταλλάζηται, ἢ γίνεται ἄλλης λογῆς.) Σχλ. Ἀπολλ. δ'. σλ. 1802. ἀπὸ τοῦ

Ἀμετάτροπος, ὁ, ἡ· (μετατρέπω) = ἀμετάτρεπτος.

Ἀμετάφορος, ὁ, ἡ· (μεταφέρω) μὴ μεταφερόμενος, μὴ μεθιστάμενος· μὴ μετενεχθείς, μὴ μετασταθείς· ἀμετάβλητος· ἄνευ μεταφορᾶς· (ὅστις δὲν μεταφέρεται, δὲν ἐμεταφέρθη· τὸν ὁποῖον δὲν ἔβαλε, δὲν ἠμπορεῖ τις νὰ βάλῃ ἀλλοιότικα, ἀμετάβαλτος· χωρὶς νὰ εἶναι μὲ μεταφορικὸν τρόπον.)

Ἀμετάφραστος, ὁ, ἡ· (μεταφράζομαι) μὴ μεταφραζόμενος, μὴ μεταφρασθείς· μὴ περιγραφόμενος, περιγραφείς. Σχολ. Ἰλδ. 1, (ὅστις δὲν ἠμπορεῖ νὰ μεταφρασθῇ, δὲν μεταφράσθηκεν εἰς ἄλλην γλῶσσαν· τὸν ὁποῖον δὲν ἠμπορεῖ νὰ περιγράψῃ, δὲν ἐπεριέγραψέ τις).

Ἀμεταχείριστος, ὁ, ἡ· (μεταχειρίζω) μὴ μεταχειριζόμενος, μὴ μεταχειρισθείς (τὸν ὁποῖον δὲν μεταχειρίζεται, δὲν ἠμπορεῖ νὰ μεταχειρισθῇ, δὲν ἐμεταχειρίσθη τις). Ἀρστφ.

Ἀμετεώριστος, ὁ, ἡ· (μετεωρίζω) μὴ μετεωριζόμενος, αἰωρούμενος, μὴ αἰωρηθείς, μετεωρισθείς· μὴ ἐλαφρός· μὴ κοῦφος· ἀνέκπληκτος, ἀδεής (τὸν ὁποῖον δὲν ἠμπορεῖ τις νὰ σηκώσῃ, δὲν ἐσήκωσε ψηλά· βαρύς· ὄχι ἐλαφρόγνωμος, σταθερόγνωμος, ἀξίπαστος, ἀσκέπαστος, ἄφοβος.)

Ἀμέτοχος, ὁ, ἡ· (μετέχω) μὴ μετέχων, μὴ μετασχόντος· (ὅστις δὲν μετέχει, δὲν μετεῖχεν ἀπὸ τίποτε.) Θυδ.

Ἀμετρής, ὁ, ἡ = τῷ ἑξῆς.

Ἀμέτρητος, ὁ, ἡ· καὶ ἀμετρήτη, ἡ· Πινδ. (μετρέω) μὴ μετρούμενος, μὴ μετρηθείς· μέτρου ἀνεπίδεκτος· μέγιστος. (ὅστις δὲν ἐμετρήθηκε· τὸν ὁποῖον δὲν ἐμέτρησεν, ἢ δὲν ἠμπορεῖ νὰ μετρήσῃ τις, ὁ ὁποῖος δὲν δέχεται μέτρημα· πολὺ μεγάλος) «...ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται...» Ὀδσ. Ψ, 249. καὶ Διόδ. Σικλ. «ἀμέτρητα πεδία.» Ἐπίῤῥ. ἀμετρήτως.

Ἀμετρί. Ἐπίῤῥ. παρὰ τὸ ἀμέτρητος = ἀμετρήτως· (ἀμέτρητα, χωρὶς μετρημόν).

Ἀμετρία, ἡ· (ἄμετρος) τὸ ἄνευ μέτρου, ὑπερβολή· πλῆθος μέγιστον· (ὅ,τι εἶναι, ἢ γίνεται χωρὶς μέτρον· ὑπερβολή· πολλὰ μεγάλον πλῆθος) «ἀμετρία γαστρός· (τὸ νὰ τρώγῃ τις ὑπὲρ τὸ μέτρον.) Πλτχ. «κακῶν ἀμετρίαι» (ἀμέτρητα κακά).

Ἀμετροβαθής, ὁ, ἡ· (βάθος) ὑπὲρ τὸ μέτρον βαθύς· (τὸν ὁποῖον δὲν ἠμπορεῖ νὰ μετρήσῃ τις πόσον εἶναι βαθύς· παραπολὺ βαθύς, βαθὺς χωρὶς πάτον).

Ἀμετρόβιος, ὁ, ἡ· (βίος) μακροβιώτατος (ὅστις ζῇ, ἢ ἔζησεν ἀμέτρητα, δηλ. παραπολλὰ χρόνια.) «ἀμετροβίων ἐλεφάντων.» Μανέθ. α', 53.

Ἀμετροεπής, ὁ, ἡ· (ἔπος) ὑπὲρ μέτρον, ὑπερβαλλόντως λαλῶν· φλύαρος (ὅστις ὁμιλεῖ παραπολλά· πολυλόγος, φλύαρος). 2) τοὺς λόγους αὐτοῦ μὴ ἀντεξετάζων, ἐν τῷ λέγειν οὐδένα λόγον τοῦ, καιρίου καὶ τοῦ πρέποντος ποιούμενος· (ὅστις δὲν ζυγίζει τὰ λόγια του, δὲν στοχάζεται τί λέγει, ὁμιλεῖ ὅ,τι τοῦ ἔρχεται εἰς τὴν γλῶσσαν· δὲν τοῦ μέλει τὸ νὰ παραβαίνῃ μὲ τοὺς λόγους του τὸ πρέπον καὶ ἁρμόδιον)...« Θερσίτης δ' ἔτι μοῦνος ἀμετροεπὴς ἐκολῴα...» Ἰλδ. Β, 212.

Ἀμετρόκακος, ὁ, ἡ· (κακός) ὑπὲρ μέτρον κακός· (παραπολὺ κακός)· «ἀμετρόκακος πλεονεξία.» Σουΐδ. ἐν Λεξ. Ῥουφῖνος.

Ἀμετρολογέω, Μλ. ήσω· (λόγος) εἰς ὑπερβολὴν λαλῶ (ὁμιλῶ ὑπὲρ τὸ μέτρον, παραπολλά) φλυαρῶ· ἀμφβ.

Ἀμετροπότης, ου, ὁ· (πίνω) ὑπὲρ μέτρον πίνων (ὅστις πίνει παραπολύ· κρασοπατέρας, καὶ τό, ἐκ τοῦ τουρκοβαρβ. σχηματισθέν, μπεκρῆλαρας.)

Ἄμετρος, ὁ, ἡ· (μέτρον) ὑπὲρ μέτρον· μέτρου ἀνεπίδεκτος, ὑπερφυής, τερατώδης, μέγιστος· ἀκρατής, ἀσελγαίνων· (ἀμέτρητος, τὸν ὁποῖον δὲν ἠμπορεῖ νὰ μετρήσῃ κανείς· παρα τραγός, παρα μεγάλος· ὅστις δὲν φυλάγει μέτρον, δὲν ἐγκρατεύεται· ξεδομένος.) 2) Ἀπὸ ποιητικῆς μέτρου, τὸ προσῆκον ποδῶν μέτρον μὴ ἔχων, ὑπερβαίνων· ἐπὶ στίχων, ἀντιθέτως τῷ, ἔμμετρος. Ἐπίῤῥ. ἀμέτρως.

Ἀμευσιεπής, ὁ, ἡ· (ἀμεύω, ἔπος) ἔπεσιν ἀμειβόμενος, ἀποκρινόμενος, ἀνταποκρινόμενος· (ὅστις ἀποκρίνεται, εἰς ἐκεῖνα ὅπου τοῦ λέγουν).

Ἀμεύσιμος, ὁ, ἡ· (ἀμεύω) δι' οὗ δύναταί τις ἐξέρχεσθαι, διέρχεσθαι· διαβατός· (ὀνόματα ἀπὸ τὸ ὁποῖον ἠμπορεῖ νὰ εὐγαίνῃ, ν' ἀπεράσῃ, διαβαίνῃ τις.) Ἀπολλ. δ', 297.

Ἀμευσίπορος, ὁ, ἡ· (πόρος) τρίοδον, ἐν ᾧ αἱ ὁδοὶ ἐναλλάττονται (σταυροδρόμι). «Ἦ ῥ', ὦ φίλοι, κατ' ἀμευσίπορον τρίοδον ἐδινάθην, ὀρθὰν κέλευθον ἰὼν τὸ πρίν.» Πνδ. Πθ. 11, 58.

Ἀμεύω, ποιητ. ἀντὶ τοῦ, ἀμείβω, τῷ ὁποίῳ ἐστὶν μὲν ὅλως ὅμοιον κατά τε τὴν σημασίαν καὶ κατὰ τὴν σύνταξιν, ἐν σπανιωτέρᾳ ὅμως χρήσει· καί, ὡς φαίνεται, Δωρικῶς μόνον· ἰδὲ ἀμείβω. Ἐν δὲ τῷ «Ἄνδρα δ' ἐγὼ κεῖνον αἰνῆσαι μενοινῶν, ἔλπομαι μὴ χαλκοπάραον ἄκονθ' ὡσεὶ τ' ἀγῶνος βαλεῖν ἔξω παλάμᾳ δονέων, μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους.» Πνδ. Πθ. α', 87. γίνεται δῆλον ἐκ τῆς ἐννοίας ὅτι σημαίνει τό, ὑπερβάλλειν, ὑπερέχειν, ὑπερβαίνειν τινά τινι· ὑπερέχειν τινός τινι, νικᾶν τινα ποσουνοῦν κατά τι, κρείττω εἶναι τινός τι ἤ εἴς τι.

Ἄμη, ἡ. Σκαπάνη· λίστρον καὶ λίστριον· σκαφίον· σκαλίς, μάκελλα, σμινύς καὶ σμινύη· (τσαπαρίδα, τσαπί· σιδηρόφτυαρο· στενοτσάπι· σκαλιστήρι· τζάπα) κυρίως παραπλήσιον τῇ δικέλλῃ γεωργικὸν ἐργαλεῖον· «ἔχοντας ἄμας καὶ δικέλλας.» Αἰσχυ. Κτησιφ. — Ἡ παραγωγὴ αὐτοῦ παρὰ τό, ἀμάω, ἐστὶν ἀμφίβολος, καὶ ἡ ἐξ αὐτῆς σημασία τοῦ, δρέπανον, ἅρπη, ἄνευ παραδείγματος. 2) ἀμφορεύς, καδίσκος, ἀντλητήριον· (κασάβι, ἢ τουρκοβαρβ. κουβᾶς) «ἄμαις καὶ σκάφαις ἀρύσασθαι» παροιμία παρὰ Πλουτ. ἐπὶ πασησδήποτε ἀφθονίας· ὡς τὸ παρ' ἡμῖν κοινότερον, μὲ τὰ καρδάρια. 3) ἀγρείφνα, ἁρπάγη, κτένες κηπουρικοί (ξυλοξουγράνα, μὲ τὴν ὁποίαν μαζώνουν τὸ χορτάρι ὅταν τὸ κοσίσουν). Τὸ ἐσφαλμένην γράφεσθαι τὴν λέξιν, ἄμη, ἀποδοκιμάζουσιν οἱ κρείττους τῶν Γραμματικογρ. Bremi ἐν Αἰσχ. Κτησφ. σλ. 122. (υ-)

Ἀμῇ, ἢ ἀμῇ. Ἐπίῤῥ. Ἀττι. ἀμῇ. Κυρίως δοτ. πτῶσις τοῦ θηλ. ἀμή, ἡ· παρὰ τὸ ἀμός = ... Τρόπῳ τινί, ὅπως δήποτε, καθ' ὅ,τιοῦν (κάπως, μὲ κάποιον τρόπον, μὲ ἕνα τρόπον, καθὼς τύχοι), ἐξαιρέτως ἐν ταῖς συνθέσεσι. ἀμηγέπη, ἀμηγέπου, ἀμηγέπου, ἀμηγέπως = ὁπωσοῦν. Ruhnk. Tim. σλ. 29. «Ἀΐτιον δὲ τί, ὑμᾶς μὲν ἤδη μισθοφορεῖν ἀμηγέπη, τουσδὶ δὲ μηδέν;» Elmsl. ἐν Ἀρστφ. Ἀχρν. 608. ἰδὲ ἀμός καὶ ἀμῶς.

Ἀμηγέπη. Ἐπίῤῥ. καὶ

Ἀμηγέπει. Ἐπίῤῥ. καὶ

Ἀμηγέπου. Ἐπίῤῥ. καὶ

Ἀμηγέπως. Ἐπίῤῥ. ἰδὲ ἀμῇ.

Ἀμήν. Ἐπίῤῥ. βεβαιωτ. = ναί, ἀληθῶς, βεβαίως, οὕτως, ἀσφαλῶς. Ὁ Ἀρέθας ἐν Ἀποκλψ. κεφ. ε'. λέγει περὶ ταύτης τῆς λέξεως. «Τὸ Ἀμήν, ἀπὸ τῆς Ἑβραΐδος εἴληπται διαλέκτου ἐπὶ βεβαίᾳ συγκαταθέσει προφερόμενον ἰσοδυναμοῦν τῷ, Ναί, ἀληθῶς καὶ ἀμετακινήτως.» 2) = γένοιτο. (ἄμποτε, μακάρι.) Λέγεται δὲ καὶ ἐπὶ ὁμολογίας, μαρτυρίας καὶ συγκαταθέσεσι. Κατὰ τὰ ὑπ' Ἀρέθα ἡ λέξις νομίζεται Ἑβραϊκή, ἔοικε μέντοι, ὅτι μετεσχηματίσθη κυρίως ἀπὸ τοῦ Δωρικοῦ ἦ μάν, ἦ μάν, ἦ μήν Ἀμήν.

Ἀμήνιον, τό. περὶ οὗ Διοσκρ. ε'. 110. λέγει. «σκευάζεται δὲ ἀπὸ τοῦ ἀμμηνίου λεγομένου, καταχρηστικῶς δὲ καὶ τούτου Κινναβάρεως λεγομένου.» Ἰδὲ Ἄμμιον.

Ἄμηνις, γενν. ιος· ὁ, ἡ· (μῆνις) = τῷ

Ἀμήνιτος, ὁ, ἡ· (μηνίω) μὴ μηνίων, μὴ ὀργιζόμενος· (ὅστις δὲν θυμόνει, δὲν γανιάζεται τουρκοβαρβ.) «...τουτέων δέ, ἔφη, ἐπήβολος γενόμενος, τοῦ λοιποῦ ἀμήνιτος εἶναι, καὶ δίκην οἱ ταύτην ἀποχρῶν γενομένην.» Ηρδτ. 9, 94. Ἄνευ ὀργῆς, ἀγανακτήσεως, (χωρὶς θυμόν, χωρὶς κάκωμα) «νοστηρίων δὲ πραγμάτων εὐάγγελον ἥκοντα..., πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω, λέγων χειμῶν' Ἀχαιῶν οὐκ ἀμήνιτον θεοῖς;» δηλ. ὑπὸ τῆς θεῶν ὀργῆς ἐγερθέντα.

Ἀσχλ. Ἀγμ. 649. Ἐπῤῥ. ἀμηρύτως. Αἰσχλ. Ἱκτ. (υ – – υ)

Ἀμήρυτος, ὁ, ἡ· (μηρύω) μὴ νηθόμενος, κλωθόμενος· μὴ νηθεὶς, μὴ κλωσθεὶς, ἀκλώστος· (ὅστις δὲν γνέθεται, δὲν κλώθεται, δὲν ἐγνέσθηκε, δὲν ἐκλώσθηκεν, ἄγνεστος)· ὅθεν τροπκ. μήκιστος, ἀπείρως μακρὸς, διατεταμένος· ἄληκτος (πολὺ μακρὸς, παραμακρὺς, χωρὶς τέλος) »γῆρας ἀμήρυτον ἐς τέλος ἕλκων.« Ἀπολλ. Ἀργ. Β, 221. οὕτως καὶ, λόγοι ἀμήρυτοι.

Ἀμης, ητος, ὁ· εἶδος πλακοῦντος γαλακτουργουμένου· (εἶδος ἀπὸ πλακούντας μὲ γάλα καμωμένας, ὅπως ἡ παρ' ἡμῖν γαλατόπιτα) »ἄμητα προσαπέπεμψεν ἡμῖν τουτονί..« Ἀριστφ. Πλτ. 999.

Ἀμήτειρα, ἡ· Θηλ. τοῦ ἀμητήρ. θερίστρια. (– – – υ)

Ἀμητήρ, ῆρος, ὁ· (ἀμάω) θεριστής. »Οἱ δ', ὥς τ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν ὄγμον ἐλαύνουσι,« Ἰλδ. Λ, 67. 2) μεταφορ. ἀναιρέτης, καθαιρέτης, ἀφανιστής (χαλαστής, ξολοθρευτής (– – –).

Ἀμητικός, ή, όν· (ἄμητος) τῷ ἀμήτῳ ἀνήκων (θεριστικὸς, ὅστις ἁρμόζει διὰ θέρισμα) »δρέπανον ἀμητικόν.« Αἰλ. ποικ. Ἱστ. 14, 37 (a)

Ἀμητίσκος, ὁ· ὑποκορ. τοῦ ἄμης· »τοὺς μικροὺς ἄμητας, ἀμητίσκους λέγουσιν Ἴωνες.« Ἀθ. ιδ'.

Ἄμητος, ὁ· (ἀμάω) τὸ θερίζειν, ἡ τῶν γεννημάτων συγκομιδή· (θέρισμα, τὸ συνάγμα καὶ τὰ θερισμένα γεννήματα) τὸ θέρος, »... ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν, ἄμητος δ' ὀλίγιστος, ἐπήν..« Ἰλδ. Τ, 223. οὕτως καὶ παρ' Ἡρδτ. 2) ὁ καιρὸς τοῦ θερισμοῦ. 3) Θερισθέντες καρποὶ, ἔτι δὲ καὶ ὁ θερισθεὶς ἀγρός· (θερισμένα γεννήματα, θερισμένον χωράφι.) ἴδε καὶ τὸ ἑξῆς.

Ἀμητός, ὁ· (ἀμάω) ὁ καιρὸς τοῦ θερισμοῦ· »Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων, ἄρχεσθ' ἀμητοῦ.« Ἡσδ. Ἔρ. 384. (Περὶ τῆς ἰδιαιτέρας σημασίας ἑκατέρας τῶν δύο τούτων λέξεων ἀκριβέστερον (ἄμητος, προπαροξυτόνως, καὶ ἀμητός, ὀξυτόνως) διαφωνοῦσιν ὁ Ἡσύχ. καὶ ὁ Εὐστθ. ὁ μὲν γὰρ φησιν. »Ἄμητος, τῆς μὲν πρώτης ὀξυνομένης, αὐτὰ τὰ τεθερισμένα· τῆς δὲ τελευταίας, ὁ καιρὸς τῆς συγκομιδῆς τῶν καρπῶν.« Ὁ δ' Εὐστάθιος σλ. 1181, συμφώνως αὐτῷ δὲ καὶ ὁ Σουίδας. »Ἄμητος μὲν, ὁ καιρὸς τοῦ ἀμᾷν· ἀμητὸς δὲ ὀξυτόνως, αὐτὴ ἡ τοῦ ἀμᾷν ἐνέργεια καὶ ὁ τεθερισμένος καρπός. Παραβλ. Τρυγητὸς καὶ Τρύγητος. (– – υ)

Ἀμήτωρ, ὁ, ἡ, ορ, τό. γενι. ορος (μήτηρ) ἄνευ μητρὸς, μητρὸς ἐστερημένος ἢ ἔρημος· (ὅστις δὲν ἔχει μητέρα, χωρὶς μητέρα) »ἔστι τῆς Κρήτης Ἀξὸς πόλις· ἐν τῇ ἐγένετο Ἐτέαρχος βασιλεύς· ὃς ἐπὶ θυγατρὶ ἀμήτορι..., ἐπὶ ταύτῃ ἔγημε ἄλλην γυναῖκα.« Ἡρδτ. 4, 154. 2) μήτηρ ἄστοργος, ἡ ἄστοργος· δυσμήτηρ, (κακὴ μητέρα· μητέρα ἡ ὁποία δὲν ἀξίζει νὰ ὀνομάζηται μητέρα). Σφκλ. Ἠλεκ.

Ἀμηχανέω, Μλ. ήσω· (ἀμήχανος) ἐν ἀμηχανίᾳ, βουλῆς ἄπορος, ἀβοήθητος, ἔρημος εἰμί· (εἶμαι εἰς ἀπορίαν, δὲν ἠξεύρω τί νὰ κάμω, τί νὰ ἀποφασίσω, πῶς νὰ βοηθηθῶ)· ἀμηχανῶν βιοτεύω, (ζῶ χωρὶς νὰ ἔχω τὰ ἀναγκαιότατα εἰς ζωὴν, δηλ. εἰς μεγάλην ἀθλιότητα). »Λούσαντες δὲ οἱ Πέρσαι ἀνόμιταν, οἱ παρακαλούμενοι..., μὴ θέλητουσι ταῦτα ποιεῖν, δικαίως ἂν διὰ παντὸς τοῦ αἰῶνος ἀμηχανοῖτε; βιοτεύειν.« Ξεν. Κυ. 1, 1, 19. Ἀμηχανῶ περί τινος (εἶμαι εἰς ἀπορίαν, στενοχωρίαν διὰ κἀνένα πρᾶγμα, ἔχω ἔλλειψιν ἀπὸ τίποτε) μετὰ γενικῆς τοῦ ἐλλείποντος. »Ἀνδρῶν τε φίλων τυγχάνεις ἄγονος ἐών, καὶ ἐλήλυθας ἐς φίλους, ἔνθα ἀμηχανήσεις χρήματος οὐδενὸς μένων ἐν ἡμετέρου.« Ἡρδτ. 1, 35. Παράβαλε ἀπορέω.

Ἀμηχανής, ὁ, ἡ· ποιητ. ἀντὶ ἀμήχανος. »Νόσφι σέθεν... τίς τέχνη, τίς μοῦσα ἀμηχανέων μελεδώνων, τίς τρίβος...« Ὁμ. Ὕμ. Ἡρ. 446.

Ἀμηχάνητος, ὁ, ἡ· (μηχανάομαι) μὴ δελεαζόμενος· πάσης μηχανοῤῥαφίας ἢ ἀπάτης ἀνώτερος. (Ὅστις δὲν πλανεύεται, δὲν πιάνεται, δὲν γελᾶται μὲ τέχνας καὶ μὲ ἀπάτην.) Παρ' Ἰωσ. Ἀρχαιολ. α', 19. ὑπ' ἄλλων δὲ ἀμηχάνητος ἀναγιν. ἀμαθ.

Ἀμηχανία, ἡ· (ἀμήχανος) ἀπορία, ἀβουλία, ἀβοηθησία, ἀδημονία, ἀθυμία, στενοχωρία, ἔνδεια, ἀνάγκη· (τὸ νὰ μὴν ἠξεύρῃ τις τί νὰ ἀποφασίσῃ, πῶς νὰ βοηθηθῇ, ταλαιπωρία, δυστυχία, στενοχώρια, στερησις)· »ἡμεῖς δ' ἀκαχείοντες ἀνεσχέθομεν Διὶ χεῖρας, σχέτλια ἔργ' ὁρόωντες· ἀμηχανίῃ δ' ἔχε θυμόν.« Ὀδσ. Ι, 295. καὶ παρ' Ἡρδτ. πολλαχοῦ· καὶ Ξεν. Οἰκ. Θ', 1. καὶ Ἑλλ. α', 4. »...ἠναγκάσθη ὑπ' ἀμηχανίας δουλεύων θεραπεύειν τοὺς ἐχθίστους.« 3) Ἐπὶ πραγμάτων· χαλεπότης, δυσχέρεια, ὄκνος· ταλαιπωρία, κακοπάθεια (δυσκολία· ἀμφιβολία, ὑποψία μὲ φόβον· ταλαιπωρία)· »...μὴ σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ σὺν πενίῃ..« Ἡσδ. Ἔρ. 497. 467. ταὐτοσήμ. τῷ, ἀπορία, ἀντιθέτως τῷ, εὐπορία.

Ἀμηχανοεργός, ὁ, ἡ· (ἔργον)· ἀργός, σκαιός, ἀδέξιος εἰς τὸ ἐργάζεσθαι· (ἀνεπιτήδειος, μωρὸς, ἀνάξιος εἰς τὴν δουλεύσιν) Ἡσδ. καὶ παρὰ Στρβ. 10, σλ. 723. »..Σάτυροι οὐτιδανοὶ καὶ ἀμηχανοεργοί.«

Ἀμηχανοποιοῦμαι· μέσ. ἀποθτ. ἀργῶς, ἀνεπιτηδείως ἅπτομαι τοῦ ἔργου, ἢ ἐπιχειρῶ τὸ ἔργον· (μωρὰ καὶ ἀνεπιτήδεια μεταχειρίζομαι τὴν δουλείαν μου)· »Χρὴ δὲ καὶ τὰς ἄλλας μηχανὰς, ἢ καλῶς μηχανᾶσθαι, ἢ μὴ μηχανᾶσθαι· αἰσχρὸν γὰρ ἄτεχνον μηχανοποιέοντα ἀμηχανοποιεῖσθαι.« Ἱππκρ.

